προκρίνονται τῶν δικαίων. διόπερ οὐ βούλομαι τὸν τῷ θεῷ ἀφιερωθέντα τόπον τοῖς ἐμοῖς συγγενέσιν ἀποχαρίσασθαι ἢ ἑτέρῳ τινί, εἰ δέ γε ἀφθήσεταί τις εἴτε τῶν γνησίων ἡμῶν συγγενῶν εἴτε τῶν ὀνομαζομένων εἴτε τῶν ἀνθρώπων ἡμῶν τῇ ἐκκλησίᾳ μου εἴτε τῷ μοναστηρίῳ εἴτε τοῖς ἐπ᾽αὐτὸ χωρίοις εἴτε τοῖς κάστροις καὶ ἀγριδίοις οἱῳδήτινι τρόπῳ ἀντιτάσσεσθαι βουληθείη | εἴτε οἰκίαν κτήσασθαι εἴτε τὸ λεγόμενον σιαλίον ἤτοι καταφύγιον ἐν τοῖς κάστροις καὶ κατοικεῖν ἐν αὐταῖς εἴτε οἱῳδήτινι εἴδει τῶν εἰσοδιαζομένων ἐκ τῶν τόπων ἐκείνων πλεονεκτήσῃ ἢ αἰσχροκερδήσῃ διά τινος μεγάλου πράγματος ἢ μικροῦ ἢ μόνῳ ψιλῷ ῥήματι ἢ διανοήματι τούτοις διοχλήσει, ἐν πρώτοις τὴν ἀρὰν ἐχέτω τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων καὶ ἀναθεματισμένος ἔστω τῆς τῶν χριστιανῶν πίστεως, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα τοῦ Ἰσκαριώτου· καὶ ὃ ἔσται δεδομένον αὐτῷ παρ᾽ἐμοῦ, κἄν τε ἀκίνητον εἴη κἄν τε κινητὸν ἢ αὐτοκίνητον, ἐξουσίαν ἔχει ἡ τοιαύτη ἁγία ἐκκλησία μου καὶ τὸ περὶ αὐτὴν μοναστήριον ἀφελέσθαι αὐτὸ ἀπὸ τοῦ τοιούτου καὶ ἐφ᾽ἑαυτὴν καθεστῆναι. ἀλλὰ καὶ εἴ τις εὑρεθῇ ἀπὸ τῶν καθηγουμενευόντων ἐν τῇ τοιαύτῃ ἡμῶν μονῇ ἢ ἀπὸ τῶν ἐν αὐτῇ μοναχῶν παρορβῆναί τι τῶν ἐν τῷ παρόντι τυπικῷ καὶ κτήσασθαι γνώμῃ δολίῳ καὶ συνδρομῇ τινι τῶν συγγενῶν ἡμῶν ἢ τῶν ἀλλοτρίων ἀπὸ τῶν ἀφιερωθέντων ἐν τῇ τοιαύτῃ ἡμῶν μονῇ ἀφελέσθαι τι ἢ καὶ αὐτῆς κατακυριεῦσαι καὶ πόδα ὅλως ἐν ταύτῃ ἐμβαλεῖν, τὴν αὐτὴν ἀρὰν ἐπισπασόμενος ἐξωσθήσεται καὶ ἀπ᾽ αὐτῆς ὡς προδότης κατακριθεὶς καὶ παραβάτης τῶν ἐν τῷ παρόντι ἡμῶν τυπικῷ ἀναγραφομένων. ἀλλ᾽ ἀπεύχομαι τοιοῦτον ἀμνήμονα τῶν ἐμῶν οἰκείων γενέσθαι τινά· πάντας γὰρ αὐτοὺς εὐηργέτησα, ἀναθρέψας τε καὶ εἰς μέτρα ἀναγαγών, οὐ κατὰ χρέος ἢ | εὔλογον αἰτίαν αὐτῶν τινος ἔχοντος, ἀλλὰ ἢ μόνον διὰ τὴν ἐντολὴν τοῦ θεοῦ καὶ ἣν εἶχον φυσικὴν σχέσιν πρὸς αὐτούς. ὁ γὰρ μακαρίτης ἡμῶν πατὴρ πάλαι ταχέως θανών, πάνυ σμικροτάτους ἡμᾶς κατέλειψε καὶ ἀνήβους, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῷ ἡ μήτηρ ἡμῶν κατὰ γυναικείαν ἕξιν εἰς τὰ ἐπιτήδεια τῶν παίδων αὐτῆς καὶ τῶν θηλειῶν ἀδελφῶν ἡμῶν δοῦσα εἰς προῖκαν, γυμνοὺς ἡμᾶς κατέλιπε καὶ κεναῖς ταῖς χερσὶ πάντων τῶν πατρῴων ἡμῶν χρημάτων, πρὸς δὲ καὶ τῶν ἑαυτῆς ἤτοι μητρῴων ἡμῶν· αἱ δὲ ἀδελφαὶ ἡμῶν μετὰ τῶν προικῶν αὐτῶν ἀπελθοῦσαι εἰς τοὺς ἄνδρας αὐτῶν ἐν διαφόροις χώροις, πρὸς δὲ κἀμοῦ περιερχομένου ἔν τε τῇ Ἀρμενίᾳ καὶ Ἰβηρίᾳ καὶ τῇ Συρίᾳ, ἔτι καὶ τῇ Ῥωμανίᾳ προσφοιτοῦντος καὶ τὴν εὐπορίαν τῆς ζωῆς μου ζητοῦντος, πολὺν ἄγαν διεβίβασα χρόνον, καὶ ταῦτα πάντα κἄν τε κτήματα κἄν τε χρήματα κἄν τε ἀξιώματα ἐχρησάμην τῇ βοηθείᾳ τοῦ θεοῦ καὶ διὰ τῶν ἁγίων εὐχῶν τῶν γονέων μου καὶ δι᾽ἐμῶν πολλῶν τρόπων καὶ περι-

нията на съда и несправедливите се предпочитат пред справедливите. Затова не искам мястото, което съм посветил на бога, да бъде подарено отново на роднините ми или на някой друг. Ако някои от истинските ми роднини или от тези, които се наричат така, или пък от нашите хора бъде забелязан, че иска да се противопостави по някакъв начин на църквата ми или на манастира, или на неговите села, или на крепостите и полските имоти, или пък построи къща или така наречен подслон или прибежище в крепостите и да живее там, или пък да забогатее от някои от приходите от тези места и да спечели по нечестен начин от някаква голяма или малка сделка, или им навреди само с думи или намерение, той да бъде най-напред прокълнат от 318-те богоносни отци, които са били събрани в Никея, да бъде анатемосан от християнската вяра и участта му да бъде като на Юда Искариотски. А какъвто имот му е даден от мене, движим, недвижим или самодвижим, светата ми църква и манастирът при нея имат право да му го отнемат и да си го вземат. Но ако се намери някой от игумените на този манастир или от монасите в него да наруши нещо от наредбите на настоящия устав и да спечели с хитрост или със съдействието на някои от моите роднини, или на чужди хора, или да ограби нещо от даренията на този наш манастир, или да му стане господар и изобщо да сложи крак в него, като си навлече същото проклятие, да бъде осъден и изгонен от него като предател и нарушител на писаното в настоящия наш устав. Но аз моля да не се намери такъв неблагодарник от моите близки, защото аз ги облагодетелствувах всичките, отхраних ги и им създадох положение не защото съм бил принуден или защото някой от тях е имал основателна причина, а само по божие повеление и поради естествената ми обич към тях. Блаженопочившият ни баща, който умря много отдавна, ни остави съвсем малки и невръстни и майка ни по женски обичай даде цялото негово имущество за нуждите на дъщерите си, нашите сестри, в зестра и ни остави голи и лишени от всякакви бащини имоти, както и от нейните, т. е. майчините ни имоти. Сестрите ни отидоха със зестрите си при мъжете си в различни земи. А аз обикалях из Армения, Иверия, Сирия, бях и из Романия, като търсех сполука. Прекарах извънредно много време и спечелих всичко това, както пари, така и имоти и длъжности, с помощта на бога и със светите молитви на моите родители. Това стана чрез мои трудове и из-

στάσεων γέγονεν, οὓς ὑπέστην, διά τε καμάτων καὶ δι᾿αἵματός μου ἐκκεχυμένου, οὐ διά τινος ἑτέρου ἀρωγῆς ἢ μεσιτείας· μᾶλλον δὲ πάντες οἱ συγγενεῖς μου καὶ οἱ ἄνθρωποι διὰ τοῦ ἐμοῦ μόχθου καὶ τῆς δουλείας καὶ τῆς πρός με τῶν εὐσεβῶν ἡμῶν βασιλέων προσπαθείας καὶ φιλοτιμίας ἐδοξάσθησαν καὶ εὐηργετήθησαν καὶ ἐξ οἰκείων μου κἄν τε λεγάτον τινὶ δέδωκα ἢ ἔτι δώσω· τὰ δὲ ἐν τῇ ἁγίᾳ μου ἐκκλησίᾳ τυπωθέντα καὶ τυπωθησόμενα ὁμοίως ἰδιόκτητά μού εἰσι καὶ ψυχικά μου πάντα δέδωκα οἷς ἂν δέδωκα· καὶ μετὰ ταῦτα εἴ τι ἂν ἀγαθὸν εἰργασάμην εἰς τοὺς ἐμοὺς ζῶντάς τε καὶ τεθνεῶτας, οὐκ ἀπ᾿ἄλλων τινῶν δικαίων εἴτε συνηθειῶν πεποίηκα. τούτων οὖν ἕνεκεν πάντων ἠθέλησα, ἵνα ἐκ πάντων ἐλευθέρως διάγῃ τε καὶ διάξῃ παντοίως τὸ κατ᾿ἐμὲ ἱερὸν σεμνεῖον ἡμῶν τε καὶ ἀλλοτρίων καὶ παντοίων ἄλλων καὶ ὑπ᾿αὐτοῦ δὴ τοῦ βασιλικοῦ μέρους καὶ τοῦ πατριαρχικοῦ, καθώσπερ διὰ τῶν εὐσεβῶν καὶ προσκυνητῶν χρυσοβούλλων προεθεσπίσθη. οὐδὲν οὖν ἀναγκαῖόν μοι ἕτερον ἦν εὐσεβὲς χρυσοβούλλιον ἀναλαβέσθαι περὶ τῶν διαφερόντων μοι κτημάτων, τῶν πρότερον προβεβηκότων τὰ εἰκότα περὶ τούτων καιρίως θεσπιζόντων· ἀλλὰ διὰ τοῦτο θερμήν τε καὶ λιπαρὰν ἐποίησα ἀξίωσιν πρὸς τὸν κράτιστον ἡμῶν βασιλέα, ἵνα τὰ παρ᾿ἐμοῦ τυπωθέντα τε καὶ οἰκονομηθέντα κατὰ τὴν ἁγίαν μονὴν ταύτην τὴν κατ᾿ἐμὲ ἀκίνητά τε ἀμέριμνα ἐστηριγμένα καὶ βέβαια ἕως τέλους φυλάττωνται (pp. $36_{16}-39_{18}$).

питания, които понесох, и чрез много усилия и проливане на кръвта си, а не с помощта и застъпничеството на някой друг. Освен това и всичките ми роднини, и хората ми се издигнаха и бяха облагодетелствувани чрез моя труд и служба, както и благодарение на благоразположението и щедростта на нашите благочестиви императори към мене. Освен това аз им дадох дарение от собствените си имоти или тепърва ще им дам. Всичко, което е било дадено от мене на светата църква, и всичко, което ще бъде дадено, е също придобито лично от мене и на които съм го дал, всичко дадох за душата си. И освен това, ако съм направил някакво добро на живите си близки или на умрелите, не съм го направил от някои други имоти или приходи. Поради всички тези неща поисках светият мой честен манастир да бъде сега, а и в бъдеще да бъде съвсем освободен от нашите, чуждите и всякакви други хора, а също и от страна на императора[1] и патриарха[2], както беше определено по-горе чрез благочестивите и почитаеми хрисовули. И тъй не ми трябваше да взема друг благочестив хрисовул за различните ми имоти, тъй като тези, които бяха издадени по-рано, потвърждаваха съответно онова, което е необходимо за тях. Но поради това аз отправих към всемогъщия наш император гореща и настойтелна молба да запази докрай ненарушими, ненакърними, твърди и сигурни установените и наредените от мене неща относно този свет манастир.

Κεφάλαιον κα

9. Παραγγελία γενομένη παρ᾿ ἡμῶν πρὸς τοὺς ἀδελφοὺς περὶ μνημοσύνου ἐμοῦ τε καὶ τῶν προσηκόντων ἐμοὶ καὶ περὶ ἀγάπης καὶ ἑστιάσεως αὐτοῖς γενομένης κατὰ τὴν ἡμέραν, ἐν ᾗ μνημονευόμεθα, καὶ περὶ διανομῆς χρυσίνων τοῖς ἐν Χριστῷ ἀδελφοῖς καὶ περὶ τοῦ πᾶσαν ἐλεημοσύνην εἰς τούτους ἐνδείξασθαι

Νῦν οὖν διοριζόμεθα περὶ τῆς μνήμης τοῦ μακαρίτου καὶ ἐν ἀοιδίμῳ τῇ λήξει Ἀπασίου μαγίστρου τοῦ αὐταδέλφου μου, τοῦ ἐκτελεῖσθαι κατὰ τὴν ἡμέραν τῆς τε λειώσεως αὐτοῦ ἤτοι τὴν εἰκάδα τοῦ σεπτεμβρίου μηνός, ἐν ᾗ τελεῖται καὶ ἡ πάντιμος ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς συνοδίας αὐτοῦ, ἑτοιμασθῆναί τε πανδαισίαν λαμπρὰν καὶ παντοίων ἀγαθῶν ἐδεσμάτων πεπληρωμένην τράπεζαν τῶν θεόθεν παρασχεθέντων ἡμῖν, καὶ ὑπὲρ τὰ κατὰ τόπον λαμβανόμενα παρὰ τῶν ἀδελφῶν προστιθέσθω ἕτερα ἑκά-

Глава XXI

9. Нареждане, дадено от нас на братята, относно моя и на близките ни помен, за яденето и угощението, което им се дава в деня на помена, за раздаването на жълтици на братята в Христа и за това, че трябва да се оказва на тях всякаква помощ

И тъй сега определям поменът за блаженопочившия и блаженопаметен наш брат Абазий да се извършва в деня на смъртта му — на двадесети септември, в който се тачи всечестното мъченичество на светия великомъченик Евстатий и на неговите сподвижници. Тогава да се приготви изобилна и разкошна трапеза, изпълнена с всякакви хубави ястия, които бог ни е дал, и на всеки брат да се прибавят още по две чаши вино освен тези,

[1] Алексий I Комнин. [2] Цариградският патриарх Евстратий Гарида (1081—1084).

στῳ κρασοβόλια δύο· ὅσοι δὲ ἱερατεύοντες ὦσι τῶν ἀδελφῶν τῶν ὄντων ἐν τῇ μονῇ καὶ τῶν ἐν τοῖς ἡσυχαστηρίοις, πρὸς δὲ καὶ τῶν ἐν τοῖς χωρίοις καὶ προαστείοις καὶ κάστροις καὶ πάσῃ τῇ διακρατήσει τῆς ἁγίας ἡμῶν μονῆς, κατὰ τὴν ἡμέραν ἐκείνην ὑπὲρ αὐτοῦ τὰ δῶρα τῷ θεῷ προσφερέτωσαν· γενέσθω δὲ καὶ τοῖς ἐν Χριστῷ ἀδελφοῖς τῇ αὐτῇ ἡμέρᾳ διανομὴ νομισμάτων μὲν ἑβδομήκοντα καὶ δύο, καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου καὶ τῆς ἁγίας λειτουργίας διανεμηθήτωσαν τοῖς ἐν Χριστῷ ἀδελφοῖς καὶ τοῖς λοιποῖς τοῖς παρατυχοῦσι ξένοις τῇ μνήμῃ αὐτοῦ νομίσματα εἰκοσιτέσσαρα (pp. 40_{27}—41_{14}).

ἐν ᾗ δὲ ἂν ἡμέρᾳ εὐδοκίᾳ θεοῦ συμβήσεται ἡ ἐμὴ Γρηγορίου τελευτή, ἐν αὐτῇ καὶ τὸ μνημόσυνόν μου ἐκτελέσαι καὶ διανεῖμαι τοῖς ἐν Χριστῷ ἀδελφοῖς νομίσματα δύο καὶ ἑβδομήκοντα, καὶ παράκλησις γενέσθω τοῖς ἀδελφοῖς διὰ δαψιλεστάτης τραπέζης καὶ πάνυ πληθούσης ἐδεσμάτων τε καὶ ποτῶν, καὶ πᾶσι τοῖς ἐληλυθόσιν εἰς τὴν δηλωθεῖσαν μνήμην ἡμῶν μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου καὶ τῆς ἱερᾶς λειτουργίας διανεμηθήτωσαν χρυσίου νομίσματα εἴκοσι τέσσαρα. ἐὰν δὲ περιττεύσῃ τῶν τυπωθέντων νομισμάτων ἢ ἕτερόν τι τῶν χρειῶν, καὶ ταῦτα ἐν ἑτέρᾳ φορᾷ διανεμηθήτω τοῖς ἐνδεέσι. πρὸς δὲ καὶ ἐκ τῆς παντοίας εἰσόδου τῆς τοιαύτης ἁγίας μονῆς εἴ τι ἂν περιττεύσῃ, ὁμοίως ἀπὸ παντὸς εἴδους τούτων τὰ ἡμίση ὑπὲρ ψυχικῆς σωτηρίας μου διανεμηθήτωσαν κατὰ τὴν ἡμέραν τῆς μνήμης ἡμῶν τοῖς εὐσεβέσιν ἐν Χριστῷ ἀδελφοῖς, τοῖς πένησι καὶ τοῖς καθυπηρετοῦσι τῇ τοιαύτῃ μονῇ μισθίοις τε καὶ παροίκοις, πάντα διὰ τῶν καθηγουμένων καὶ οἰκονόμων διανεμόμενα μετὰ φόβου θεοῦ καὶ καθαρᾷ συνειδήσει καὶ ἀδιακρίτῳ γνώμῃ, εἰδότων ὅπως κατακρίσεως ἔτυχεν ὁ τὸ γλωσσόκομον ἔχων καὶ τὰ βαλλόμενα κομιζόμενος, ὃς διὰ τοῦ νοσφισμοῦ κλέπτης τε καὶ προδότης ἀπεφάνθη, πρὸς δὲ καὶ πάλαι διὰ τῆς φιλαργυρίας ὁ Γιεζῆ οἷα καταδεδίκασται λέπρᾳ. ταῦτα δὲ πάντα ἀπαραλλάκτως τε καὶ βεβαίως καὶ ἀσφαλῶς βούλομαι διατηρεῖσθαι καὶ οὐδὲν διὰ μιᾶς προφάσεως ἐκ τῶν εἰρημένων τούτων καταλιπεῖν· εἰ δέ γε ἐκ τῆς καρποφορίας τῶν ἀδελφῶν ἢ ἄλλων τινῶν συναχθῶσι νομίσματα, τὸ τούτων περίττευμα μὴ διανεμηθῆναι πτωχοῖς ἡμῶν ἕνεκεν, ἀλλὰ διατηρεῖσθαι ταῦτα τοῖς ἀγαγοῦσιν, ἐκ δὲ τῆς εἰσόδου τῆς ἁγίας μονῆς διοικεῖν τὰ ὑπὲρ ἡμῶν (pp. 41_{30}—42_{17}).

ἐν δὲ τῇ σεβασμίᾳ καὶ ἁγίᾳ ἡμέρᾳ τῆς μεγάλης πέμπτης μνήμη τελείσθω τοῦ μακαρίτου καὶ περιδόξου πατρὸς ἡμῶν τοῦ Πακουριάνου, τοῦ ἄρχοντος τῶν ἀρχόντων, ἐν ἱεραῖς λειτουργίαις καὶ φαιδραῖς τραπέζαις· διανεμηθήτωσαν δὲ τῇ αὐτῇ ἡμέρᾳ τοῖς πένησι νομίσματα εἰκοσιτέσσαρα (p. $43_{10—14}$).

които братята обикновено получават. А които от братята служат в манастира или в отшелническите килии, а освен това и в селата, проастиите, крепостите и целия обхват на нашия свет манастир, в онзи ден да поднасят за него дарове на бога. Същия ден да се раздават седемдесет и две номизми на братята в Христа, а след пускането на утринната и на светата литургия да се раздадат и четири жълтици на братята в Христа и на другите чужди хора, които се случат на помена му. — — —

В деня, когато по божие благоволение се случи смъртта ми, на мене, Григорий, да ми се прави помен и да се раздават на братята в Христа седемдесет и две номизми. За утешение на братята да се дава и твърде обилна и богата трапеза с ядене и пиене, а след пускане на утринната и на светата литургия да се раздадат двадесет и четири жълтици на всички, които са дошли на споменатия наш помен. А ако остане нещо от определените номизми или нещо друго от храните, и това да се раздаде на нуждаещите се. А освен това, ако остане нещо от целия приход на този свет манастир, също така половината от всички видове храни да се раздаде за душевното спасение в деня на нашия помен на благочестивите братя в Христа, на бедните, на служещите в този манастир мистии и на париците. Игумените и икономите да разпределят всичко със страх от бога, с чиста съвест и безпристрастно, като знаят, че е бил осъден ковчежникът, който присвоява това, което се носи, и който поради кражба е бил изобличен като крадец и предател, а още повече в старо време Гиезий е бил обречен на проказа поради сребролюбие. Искам всичко това да се пази непроменено, твърдо и сигурно и да не остане под никакъв предлог нищо от казаните неща. Ако се съберат номизми от приношенията на братята или на някои други, излишъкът от тях да не се раздава на бедните заради нас, а да се пази за тези, които са направили даренията. А нашият помен да се прави от прихода на светия манастир. — — —

А на светия и почитан ден велики четвъртък да се прави помен за блаженопочившия славен наш баща Бакуриани, архонт на архонтите, със света литургия и с разкошна трапеза. Същия ден да се раздават на бедните двадесет и четири номизми.

Κεφάλαιον κδ

10. Περὶ τοῦ μὴ κατατάσσεσθαι Ῥωμαῖον πρεσβύτερον ἢ μονάζοντα ἐν τῇ κατ᾽ἐμὲ μονῇ, καὶ δι᾽ἥντινα τὴν αἰτίαν

Παρεγγυῶμαι δὲ πᾶσι τοῖς ἐν τῇ μονῇ καὶ βεβαιοτάτῳ δόγματι παριστῶ, μηδέποτε ἐν τῇ κατ᾽ἐμὲ ταύτῃ ἁγίᾳ μονῇ Ῥωμαῖον πρεσβύτερον ἢ μονάζοντα ταχθῆναι εἰ μὴ μόνον νοτάριόν τινα, εἰδότα γράμματα καὶ πρὸς τοὺς κατὰ καιροὺς ἄρχοντας ἐπιστέλλοντά τε τὴν γνώμην τοῦ καθηγουμένου καὶ πρὸς τοὺς αὐτοὺς ἀποστελλόμενον παρὰ τούτου ἀπέρχεσθαι καὶ τὰ χρειώδη τῆς μονῆς διοικεῖν. τούτου δὲ ἕνεκεν τὴν τοιαύτην παραγγελίαν ποιοῦμαι ἐξασφαλιζόμενος, ἵνα μήπως βίαιοι ὄντες καὶ περίλογοι καὶ πλεονέκται, ἐστέρημά τι καὶ βλάβην τῇ μονῇ προξενοῦσιν, ἢ ἀντιτασσόμενόν τινα τῷ τόπῳ καθιστῶσι, σπεύδοντα τοῦ τέ τινος κατακυριεύειν ἢ τὴν ἡγουμενείαν πρὸς ἑαυτὸν ἐπισπάσασθει ἢ ἄλλην τινὰ κατὰ ἀπευλαίαν πρόφασιν ἰδιοποιήσασθαι τὴν μονήν, οἷαπερ πολλάκις συμβεβηκότα εἴδομεν ἐν τῇ ἡμετέρᾳ φυλῇ ἐξ ἁπλότητος καὶ γνώμης ἐπιεικοῦς. εἰ δὲ μὴ τοῦτο ἦν, ἡμεῖς τούτοις τῇ πίστει ὡς διδασκάλοις ἑπόμεθα καὶ τοῖς ἐκείνων πειθόμεθα δόγμασι (pp. 44_{19}—45_{3}).

Глава XXIV

10. За това, че не бива да се допуска презвитер или монах ромей в моя манастир и по каква причина

Препоръчвам на всички в манастира и нареждам с непоколебимо решение да не се приема в моя свет манастир презвитер или монах ромей освен само някой нотарий, който знае да пише и довежда до знанието на местните управници решението на игумена и бива изпращан от него да отива при тях и да урежда необходимите за манастира неща. Заради това давам тази препоръка, за да се осигуря, щото да не би някои, които са насилници, хитри и алчни, да извършат някаква вреда и щета на манастира или да поставят някой противник на това място, който би се стремил да господствува, да заграби за себе си игуменството или да си присвои манастира под някакъв друг благовиден предлог. Знаем, че това често се е случвало поради наивност и простодушие в нашето племе. Ако не беше така, ние бихме следвали ромеите като учители във вярата и бихме се подчинявали на техните решения.

Κεφάλαιον κε

11. Περὶ τῶν Ἰβήρων συγγενῶν καὶ ἀνθρώπων ἡμῶν εἰς τὴν μοναδικὴν τάξιν ἐληλυθότων καὶ ἐλευσομένων, ὅπως δεῖ αὐτοὺς δέξασθαι

Εἰ οὖν εἰσί τινες ἀπὸ τῶν ἡμετέρων συγγενῶν τῶν καθ᾽αἷμα πλησιαζόντων ἡμῖν καὶ κατὰ βαθμὸν προτιμωμένων μοναδικῇ διαζῶντες τάξει, φιλοτιμούμενοι πείρᾳ τε καὶ συνέσει καὶ ἐπιτήδειοι πρὸς τὰ τῇ ἁγίᾳ μονῇ συμφέροντα καὶ δυνατώτατοι, δέον τε καὶ συμφέρον ἡγούμεθα τὸ προτιμᾶσθαι τούτους ὑπὲρ τοὺς ξένους καὶ τοὺς ἐξωτερικούς· εἰ δὲ τῆς ἱερατικῆς τάξεως πόρρω εἰσὶ καὶ τῆς κατ᾽ἀρετὴν διαγωγῆς καὶ οὐ μόνον κατὰ ταύτην ἀδύνατοι, ἀλλὰ καὶ πάντως ἀνίκανοι καὶ ἀποίητοι πρὸς τὴν τῆς κοσμιότητος ἐπιτηδειότητα καὶ οὐχ ὁλοκλήρῳ καρδίᾳ καθυπουργοῦντες γνωσθήσονται τοῖς ἱεροῖς τούτοις τύποις, μὴ γένοιτο ἐξουσίαν ἐγχειρισθῆναι αὐτοῖς· τὴν γὰρ τοιαύτην τῶν μοναζόντων κατοίκησιν βούλομαι διορίσασθαι, | ὡς πολλάκις εἴρηται, τοῦ εἶναι ἐλευθέραν πάντῃ ἀπὸ ξένων τε καὶ τῶν ἐγγυτέρων ἡμῶν συγγενῶν οὐδ᾽ ἄλλῳ τινὶ ἑτέρῳ ὑποτάσσειν ταύτην διοριζόμεθα, ἀλλ᾽ αὐτεξουσίως ἀεί τε καὶ διαπαντὸς διάγειν καὶ αὐτοδεσπότως. εἰ δέ τις τῶν εἰρημένων συγγενῶν ἡμῶν ἢ τῶν ἀνθρώπων ἡμῶν ἢ καὶ ἄλλος τις ἢ τῶν Ἰβήρων καὶ ἀποκάρῃ καὶ ὁ τετυπωμένος ἀριθμὸς τῶν μοναζόντων ἐλλειπὴς ὑπάρχει, δεῖ τοὺς τοιούτους προτιμήσασθαι καὶ εἰσαγα-

Глава XXV

11. За съплеменниците иверийци и наши хора, които са достигнали или ще достигнат до монашески чин, как трябва да се приемат

Ако има някои от нашите съплеменници, които са ни близки по кръв и удостоени с чин и които преживяват по монашески ред, известни с опитността и разсъдливостта си, и които са годни и са в състояние да [допринесат] полза за светия манастир, смятам за необходимо и полезно те да бъдат предпочетени пред чуждите и външни хора. А ако са далеч от свещеническия чин и от добродетелния живот и не само са неспособни за него, но изобщо са негодни и чужди на благоприличието и благопристойността и се покажат, че служат не от цялото си сърце на тези свети наредби, нека да не им се поверява власт. Аз искам да се определи такава обител на монасите, че, както често се каза, да бъде напълно свободна от чужденци и от наши по-близки съплеменници, и постановяваме тя да не бъде подчинена на никой друг, но да бъде винаги самовластна и напълно самостоятелна. Ако има някой от казаните наши родственици или от нашите хора или някой друг от иверийците, който се подстриже, и определе-

γεῖν αὐτοὺς ἐν τῇ μονῇ καὶ εἰς τοὺς τῶν ἐλλειπόντων τάσσειν τόπους πρὸς ἀναπλήρωσιν τῆς τετυπωμένης ποσότητος, ὀφείλοντας αὐτοὺς διάγειν κατὰ τὴν τυπωθεῖσαν τάξιν τῆς τοιαύτης μονῆς καὶ ὁμονοεῖν αὐτοῖς τοῖς ἐν τῇ κοινότητι ἀδελφοῖς καὶ ὑποτάσσεσθαι τῷ καθηγουμένῳ. ὁ δὲ τετυπωμένος ἀριθμὸς τῶν μοναχῶν ἐλλειπέτω μηδέποτε (p. 45_{3-28}).

ното число на монасите остане непопълнено, трябва те да се предпочитат, да се въвеждат в манастира и да се оставят за попълване на определения брой на местата на липсващите. Те трябва да живеят според установения за този манастир ред, да живеят в съгласие с монашеското братство и да се подчиняват на игумена. А определеният брой на монасите никога да не се намалява.

Κεφάλαιον κς

12. Περὶ τοῦ λογαριασθῆναι τὸν οἰκονόμον καὶ τοὺς λοιποὺς διακονητὰς ὑπὸ τοῦ καθηγουμένου, τὸν καθηγούμενον δὲ λογαριασθῆναι ὑπὸ τῆς τῶν ἀδελφῶν κοινότητος

Ὀφειλόμενόν ἐστι καὶ ἄξιον, ἵνα δι᾽ὅλου τοῦ ἐνιαυτοῦ ὁ | μέγας οἰκονόμος τῆς καθ᾽ἡμᾶς εἰρημένης μονῆς λογαριάζῃ τούς τε παροικονόμους καὶ τοὺς διακονίας διαφόρους ἐγκεχειρισμένους ἅπαξ κατὰ τὸν σεπτέμβριον μῆνα καὶ αὖθις κατὰ τὸ ἅγιον πάσχα σὺν φόβῳ θεοῦ· καὶ εἴ τι ἂν εὑρεθῶσιν ἀπολειπαζόμενοι, λαμβάνων παρ᾽αὐτῶν, τούτοις ποιήσει ἀπόδειξιν· ὁ δὲ μέγας οἰκονόμος λογαριαζέσθω ὑπὸ τοῦ καθηγουμένου, καὶ λογαριαζόμενος ὑπ᾽αὐτοῦ λαμβανέτω παρ᾽αὐτοῦ ἀπόδειξιν· ὁ δὲ καθηγούμενος ἐν φόβῳ θεοῦ τῇ εἰδήσει τῶν λοιπῶν ἀδελφῶν ἐξοδιαζέτω εἰς τὰς τῆς ἐκκλησίας χρείας καὶ τῆς μονῆς, καὶ τὸ καταλιμπανόμενον ἀνεξοδίαστον πρὸς ὠφέλειαν τῆς μονῆς καὶ συμφέρον δότω εἰς τὸν δοχειάριον καὶ λαμβανέτωσαν παρὰ τούτου ἀπόδειξιν. καὶ καθ᾽ἕκαστον πάσχα ὁ καθηγούμενος λογαριαζέσθω ὑπὸ τῶν οἰκονόμων καὶ τοῦ δοχειαρίου καὶ τῆς ἀδελφότητος· ὡσαύτως καὶ ὁ δοχειάριος λογαριαζέσθω δὶς τῷ ἐνιαυτῷ ὑπὸ τοῦ καθηγουμένου καὶ τῆς ἀδελφότητος. καὶ εἴ γε ἐκ τούτων τις ἐπλεονέκτησεν ἢ κατεδαπάνησεν ἀκαίρως ἢ ματαίως τὰ ἐκκλησιαστικὰ χρήματα, δεῖ τὰ ἐλλείποντα καὶ ἀναλωθέντα πάλιν ἀποπληρῶσαι καὶ ἀποκαταστῆσαι, αὐτὸν δὲ ἐξῶσαι ἀπὸ τῆς ἀνὰ χεῖρα αὐτῷ δουλείας· εἴ τι δὲ περιττεύσει ἐκ τῆς ἐκκλησιαστικῆς εἰσόδου ὑπὲρ τὰς παρ᾽ἡμῶν τυπωθείσας ἐξόδους καὶ ἄλλας δικαίας δόσεις, ὅσον ἂν εἴη τὸ τούτου, τόσον γενέσθω εἰς τὰ συμφέροντα τῆς ἐκκλησίας καὶ πρὸς ὠφέλειαν αὐτῆς φυλαττόμενον, ὥστε ἐν ἐπιτηδείῳ καιρῷ εὑρεθήσεται εἰς ὠφέλειαν τῆς ἐκκλησίας, ὥσπερ εἴρηται, καὶ ἐξοδιάζεται. διοριζόμεθα δὲ καὶ τοῦτο, ἵνα μὴ ἀπολείψῃ ποτὲ ἀπὸ τῆς μονῆς λογάριον ἕως δέκα λιτρῶν, ὥστε ἐν καιρῷ δέοντι τὴν τῆς μονῆς χρείαν ἀποπληροῦν, τὰ δὲ ὑπερπερισσεύματα τῶν δέκα λιτρῶν δότωσαν εἰς ἀγορὰν κτήματος καὶ τὸ κτῆμα προσκυρωσάτωσαν τῇ μονῇ (pp. 45_{29}—46_{23}).

Глава XXVI

12. Икономът и останалите дякони да дават сметка пред игумена, а игуменът да дава сметка пред цялото братство

Необходимо и редно е главният иконом на речения наш манастир през годината със страх от бога да иска сметка от помощник-икономите и от ония, на които са поверени различни дяконски служби, веднъж през месец септември и втори път на Великден. И ако те биха имали някакъв недостиг, да го получи от тях и да им даде документ. Главният иконом да дава сметка пред игумена и след като му даде сметка, да получи от него документ. А игуменът със страх от бога със знанието на останалите братя да харчи за нуждите на църквата и манастира и това, което остава неизразходвано, да предаде на дохиария[1] за потребност и полза на манастира и да получи от него документ. И всяка година по Великден игуменът да дава сметка пред икономите, дохиария и братството. Също така и дохиарият да дава сметка два пъти през годината пред игумена и братството. И ако някой от тях се е обогатил или е изразходвал неуместно и напразно църковните пари, трябва отново да попълни и да набави липсващите и изразходвани пари, а той да се отстрани от службата, която заема. Ако от църковния приход остане излишък след определените от нас разходи и други справедливи дарения, какъвто и да е той, да бъде за полза на църквата и да се пази за нейна потребност, така че в случай на нужда да се намери и да се изразходва за полза на църквата, както се каза. Нареждаме и това — винаги да има в манастира сума до десет литри, така че в случай на нужда да задоволи потребностите на манастира. Излишъците над десет литри да се дават за покупка на имот, а имотът да стане собственост на манастира.

[1] Дохиарият (δοχειάριος) се грижел за склада с хранителни припаси в манастира и разпределял продуктите между монасите.

Κεφάλαιον κθ

13. Περὶ τῶν τριῶν παρ' ἐμοῦ κτισθέντων κλιμάκων τῶν κληθεισῶν παρ' ἡμῶν ξενοδοχείων ὅπως ἐτυπώσαμεν

Κάτωθεν δὲ τοῦ χωρίου τοῦ ὀνομαζομένου Στενιμάχου ἐπάνωθεν τῶν δύο ὁδῶν ἐκτίσθη ἓν ξενοδοχεῖον. διατάσσομαι οὖν καὶ διορίζομαι ἐκ τῶν προσόδων τοῦ ῥηθέντος χωρίου τοῦ Στενιμάχου δοῦναι ἐκεῖσε λόγῳ τῶν ὁδοιπόρων καὶ τῶν | πενήτων ἑκάστῃ ἡμέρᾳ, ἣν ἐποίησεν ὁ θεός, σίτου μοδίους δύο καὶ οἴνου μέτρα δύο καὶ λόγῳ προσφαγείου ἢ ἑψητοῦ, εἴ τι παράσχῃ ἡ τοῦ θεοῦ ἀγαθότης, οἷον ἐκ σπερμάτων καὶ λαχάνων. ἐτύπωσα δὲ καὶ ὑδρόμυλον ἐκ τῶν δεσποτικῶν μυλώνων τῶν ὄντων ἐν τῷ Στενιμάχῳ, ἵνα ἀλήθῃ τό τούτου ἄλεσμα, καὶ πάροικον ἕνα ἐκ τοῦ τοιούτου χωρίου ἀπὸ πάσης ἐπηρείας τε καὶ δουλείας, αἷς τὸ ὅλον τοιοῦτον χωρίον ὑπόκειται, ἐλεύθερον εἶναι διωρισάμην καὶ μόνῃ ὑποκεῖσθαι τῇ τοῦ τοιούτου ξενοδοχείου ὑπηρεσίᾳ, οἷον ξυλοφορεῖν ἐν αὐτῷ καὶ ὑδροφορεῖν καὶ πᾶσαν δουλείαν τοῖς ξενοδοχείοις ἁρμόζουσαν ἐκτελεῖν, δι' οὗ διανέμεται καὶ ἡ τοιαύτη παροχὴ εἰς τοὺς πένητας καὶ τοὺς ὁδοιπόρους. γενέσθωσαν οὖν ἐν καθαρᾷ γνώμῃ καὶ φόβῳ θεοῦ καὶ διανεμέτω ἀνυποκρίτως τὴν τοιαύτην παροχὴν τῶν χρειῶν καὶ λαμβανέτω μετὰ τῶν ἄλλων ἀδελφῶν τῶν ἀπὸ τῆς μονῆς τὴν λαγχάνουσαν αὐτῷ ῥόγαν ὡς εἷς ἀπὸ τῆς τρίτης τάξεως ἀδελφός. καὶ τεθήτωσαν κράββατοι ἐν τῷ ξενοδοχείῳ τούτῳ πολλοί, καὶ φοῦρνος ἔστω καὶ κλίβανος ἐν αὐτῷ, θερμοὶ ἄμφω, ἵν' ὅταν ἔλθῃ ἐν ταῖς χειμεριναῖς ἡμέραις ὁ ξένος, ἐν τῷ τοιούτῳ ξενοδοχείῳ θερμαίνηταί τε καὶ στεγανώνηται καὶ ἀναπαύηται. καὶ εἰ κινδυνεύει νόσῳ τινί τις τῶν ἐκεῖσε παραγενομένων ὁδοιπόρων καὶ φίλων, πρέπει τὸν τοιοῦτον ἀναπαῦσαι ἡμέρας τρεῖς· μετὰ δὲ τὰς τρεῖς ταύτας ἡμέρας παραπέμψαι τοῦτον. εἰ δέ γε πάνυ εἰς ἀδυναμίαν τις καταντήσει καὶ οὐ δύναται ὁδοιπορεῖν, δεῖ τὸν τοιοῦτον ἕως τότε κρατεῖν καὶ ἀναπαῦσαι, ἕως οὗ τελείως ὑγιανεῖ. δεῖ δὲ οἰκοδομῆσαι πλησίον τοῦ ξενοδοχείου ἐπὶ τῷ βουνῷ πύργον τινά, καὶ εἰ συμβῇ τις ἐκεῖσε φόβος, ἐν τῷ πύργῳ φυλάττειν, ὅπως εἰ ἔλθῃ τις τῶν βιαίων, οὐ φθάσῃ ἡ χεὶρ αὐτοῦ. καὶ εἰς τὸ ξενοδοχεῖον τὸ λεγόμενον Μαρμάριον, ὅ ἐστί πλησίον τῆς γεφύρας, καὶ τὸ ἕτερον ξενοδοχεῖον, ὅ ἐστί παρὰ τὴν θάλασσαν καὶ τὴν καθ' ἡμᾶς

Глава XXIX

13. Какво постановяваме за трите основани от мене лествици[1], наречени от нас странноприемници

Под селото, наречено Станимака, над двата пътя, бе построена странноприемница. Нареждам и определям там да се раздава всеки божи ден на пътниците и на бедните два модия[2] жито и две мери вино от приходите на казаното село Станимака, а също и за суха храна или готвено, каквото божията милост даде, например зърнени храни и зеленчуци. Постанових и една от господарските воденици, които се намират в Станимака, да мели това мливо и определих един парик от това село да бъде свободен от всяка тегоба и служба, на които подлежи цялото това село, и да служи само на тази странноприемница: да носи дърва и вода и да изпълнява всякаква необходима за странноприемниците работа. Чрез него да се върши и снабдяването на бедните и пътниците. Прочее той да върши добросъвестно и със страх от бога тия неща и да разпределя безпристрастно даваните припаси, като получава заедно с другите братя от манастира падащата му се заплата като брат от трети разред. И ако бъдат поставени в тази странноприемница много легла, да има пещ и огнище в нея и двете да горят, та когато дойде гост в студени дни, да се стопли в тази странноприемница, да се подслони и да си почине. И ако някой от пристигащите тук пътници и приятели заболее от някаква болест, той трябва да прекара три дни. А след тези три дни да се изпрати. Ако пък е много слаб и отпаднал и не може да върви, той трябва да се държи и да почива, докато оздравее напълно. Близо до странноприемницата, на височината, трябва да се изгради една кула и ако се случи там някаква опасност, да се запазят в кулата, та ако дойде някой насилник, ръката му да не успее.[3] В странноприемницата, наречена Мармарион, която е близо до моста[4], както и в другата странноприемница, която е край морето и при нашия манастир

[1] Лествици, т. е. стълби. Думата се употребява в преносен смисъл. Чрез тия „стълби“, с които Григорий Бакуриани означава трите странноприемници, той смятал, че ще постигне „царството небесно“. [2] Един модий като мярка за зърнени храни се равнявал на около 8,5 кг. [3] Авторът на типика взема предохранителни мерки срещу евентуални нападения. Като се имат пред вид общото положение в българските земи по това време и другите податки в типика (например „неспокойният народ“ — гл. I), това сведение може да се схване като указание за нараспалата класова борба. [4] Мармарион — днес има село Мармор. Вж. *Йорд. Иванов*, Асеновата крепост, стр. 207. Посочването, че странноприемницата се намирала близо до моста, е дало основание на Л. Пети да предполага, че това място е било близо до р. Вардар, между Солун и Пела, където в древността имало станция Гефира (мост). Срв. *L. Petit*, Typicon, Introduction, p. XV.

μονὴν τοῦ ἁγίου Νικολάου, ἅτινα δύο ξενοδοχεῖα ᾠκοδομήσαμεν καὶ ἐτυπώσαμεν ὑπὲρ ψυχικῆς σωτηρίας τοῦ μακαρίτου αὐταδέλφου μου, ὁμοίως τεθήτωσαν εἰς διακονίαν τῶν ὁδοιπόρων τε καὶ πενήτων ἐκλεκτοί τινες καὶ μονάζοντες εἷς ἐν τῷ ἑνὶ καὶ ἕτερος ἐν τῷ ἑτέρῳ, καὶ λαμβανέτωσαν καὶ αὐτοὶ ῥόγαν, καθώσπερ καὶ ὁ Στενιμαχίτης· δοθήτωσαν δὲ εἰς τὸ ξενοδοχεῖον τοῦ Μαρμαρίου ἀπὸ τῆς εἰσόδου τοῦ χωρίου Πραβικίου ἑκάστῃ ἡμέρᾳ σίτου μόδιος εἷς καὶ οἴνου μέτρον ἕν, καὶ ἐλευθερωθήτω πάροικος, ὥστε καὶ τὸ ἄλεσμα ἀλήθῃ καὶ τὸ ξύλον ἀγάγῃ καὶ ἄλλην πᾶσαν ὀφειλομένην ὑπηρεσίαν τοῦ τοιούτου ξενοδοχείου πληροῖ. ὁμοίως δὲ εἰς τὸ ξενοδοχεῖον τοῦ ἁγίου Νικολάου δοθήτω ἀπὸ τῆς προσόδου τοῦ χωρίου Πριλόγγου | ἑκάστῃ ἡμέρᾳ σίτου μόδιος εἷς καὶ οἴνου μέτρον ἓν καὶ λόγῳ μαγειρεύματος εἴ τι ἂν τύχῃ καὶ οἰκονομήσῃ ἡ θεία πρόνοια, κἄν τε ὄσπρια κἄν τε λάχανα, καὶ πάροικος πάλιν ἐκεῖθεν ἐλευθερωθείη λόγῳ ἀλέσματος καὶ τοῦ ξυλοφορεῖν καὶ ὑδροφορεῖν καὶ τὰς λοιπὰς ὑπηρεσίας τοῦ ξενοδοχείου ἀποτελεῖν. ἐξορκίζω δὲ τοὺς μεθ'ἡμᾶς τῆς ἁγίας μονῆς ταύτης καθηγουμενεύοντας, μηδέποτε τὰ τοιαῦτα ξενοδοχεῖα τῶν ἐν αὐτοῖς τετυπωμένων χρειῶν ὑφίστασθαι στέρησιν τὴν οἱανοῦν μερικῶς ἢ καθόλου, καὶ πιστεύω τῇ ἀγαθότητι τοῦ θεοῦ καὶ τῇ πρεσβείᾳ τῶν ἁγίων αὐτοῦ. ἵνα εἰ καὶ μὴ ἕνεκέν τινος ἄλλου διὰ μόνα τὰ τοιαῦτα ξενοδοχεῖα τὰ τυπωθέντα καὶ νομοθετηθέντα ἅπαντα σῷα διατηρηθῶσιν ἀεὶ εἰς τὸ ἑξῆς πάντοτε ἀπὸ πάσης βλάβης τε καὶ ὀχλήσεως. εἰ δὲ πρὸς τὸ κρεῖττον καὶ ἀφθονώτερον αὐξηθήσεται θείᾳ προνοίᾳ ἡ πρόσοδος τῆς καθ'ἡμᾶς μονῆς, καὶ τῆς ξενοδοχίας ὁ τρόπος ὡσαύτως αὐξηθήτω πρὸς τὸ κάλλιστον καὶ ὑπέρτερον. εἰ δ'οὖν, αὗται αἱ παρ'ἡμῶν τεθεῖσαι ἐν αὐτοῖς τοῖς ξενοδοχείοις χρεῖαι ἔστωσαν ἀδιάλειπτοι καὶ ἀνυποκράτητοι, μᾶλλον δὲ ἀπαρασάλευτοί τε καὶ πάγιοι· εἰ δὲ βουληθῇ τις τῶν μεθ'ἡμᾶς ἀπείργειν ἢ περικόπτειν τὴν τοιαύτην τυπωθεῖσαν παρ'ἡμῶν ξεναγωγίαν, εἰς μεγάλην ἁμαρτίαν λογισθήσεται αὐτῷ τοῦτο καὶ τῶν ἡμετέρων ἁμαρτημάτων ἔσται ἔνοχος (pp. 48_1—49_{27}).

Свети Никола[1] — тези две странноприемници аз построих и учредих за душевното спасение на блаженопочившия си брат, — също така да се поставят в услуга на пътниците и на бедните някои избрани монаси, един в едната и друг в другата, и да получават и те заплата като онзи в Станимака. Да се дава всеки ден на странноприемницата Мармарион по един модий жито и по една мера вино от приходите на селото Правикий[2] и да се освободи един парик, за да мели мливото, да носи дърва и да изпълнява всякаква друга работа, нужна за тази странноприемница. А също и за странноприемницата Свети Никола да се дават всеки ден по един модий жито, една мера вино и за готвене, каквото божнето провидение даде и предвиди — било бобови растения, било зеленчуци от приходите на село Прилонкион. И оттам пак да се освободи един парик като воденичар, да носи дърва и вода и да изпълнява останалите работи при странноприемницата. И заклевам онези, които бъдат след нас игумени на светия този манастир, щото тези странноприемници никога да не понасят каквото и да било частично или пълно лишение от определените за тях припаси, и вярвам, че с благодатта на бога и със застъпничеството на неговите светци всичко наредено и постановено [от мене] ще се запази непокътнато навеки от всяка щета и домогване, ако не относно всичко друго, то поне само за тези странноприемници. А ако по божи промисъл доходът на нашия манастир стане по-голям и по-изобилен, нека също така и уредбата на странноприемницата да се подобрява и разширява. Във всеки случай определените от нас постъпления за странноприемниците да бъдат ненарушими и неотменими. А ако някой от нашите потомци поиска да лиши или ограби това определено от нас убежище за странници, нека това му се смята за голям грях и да бъде той съпричастник на нашите прегрешения.

Κεφάλαιον λβ̄

14. Περὶ ἐκδόσεως ἢ διαπράσεως ἀγρῶν ἢ κτημάτων εἰς πρόσωπα ἀπὸ τῆς μονῆς

Διακωλύομεν δὲ ἐκ τούτου καὶ διοριζόμεθα, οὐδαμῶς ὅλως ἄδειαν ἔχειν τὸν καθηγούμενον τῆς

Глава XXXII

14. За отчуждаване или продаване на ниви или имоти на лица от манастира

Забраняваме отсега нататък и нареждаме според устава на манастирите на Изтока и на Запада игуменът на нашия манастир да

[1] Точното местоположение на манастира „Св. Никола“ не е известно. От текста на типика може да се предположи, че той се е намирал при с. Прилонкион (на брега на Бяло море, край Орфанския залив), от чиито приходи се издържала странноприемницата на същия манастир. Срв. *Petit*, Typicon, p. 49_9. [2] Сравикий или Правикий съществува и днес под името Здравик или Здравики в Зъхненско, близо до езерото Тахино. Вж. *Йорд. Иванов*, Асеновата крепост и Бачковският манастир, ИБАД, II (1911), стр. 207.

ἡμετέρας μονῆς κατὰ τὸν τύπον τῶν μονῶν τῆς τε ἀνατολῆς καὶ τῆς δύσεως διδόναι ἀδελφῷ τινι ἀπὸ τῶν κτημάτων τῆς ἡμετέρας μονῆς μήτε παροικοτόπιον μήτε γῆν ἑτέραν μήτε κῆπον ἢ ἀμπελῶνα μήτε τι τοιοῦτον τῶν διαφερόντων τῇ δηλωθείσῃ μονῇ, ὅπως μὴ καταλυθῇ ἡ καλλίστη ὁμόνοια καὶ συμφωνία τῆς ἀδελφότητος· ὁμοίως δὲ μήτε πολεῖν μήτε ἐκδοῦναι εἴς τινα πρόσωπα· οὕτω γὰρ διαπρυσίως καὶ ἀσφαλῶς παραγγέλλω καὶ διαμαρτύρομαι, ὅπερ μηδὲ γένοιτο οὐ μόνον ποιεῖν, ἀλλ᾽οὐδὲ διανοεῖσθαι αὐτὸ τὸ ἐκποιήσασθαι οἱῳδήτινι τρόπῳ πρὸς ὁτιοῦν πρόσωπον ἐκ πάντων τῶν διαφερόντων τῇ ἁγίᾳ μονῇ, ἐκτὸς μόνον τῶν παροίκων τῶν δουλευόντων συνήθως αὐτῇ (p. 51_{10-23}).

няма никаква възможност изобщо да дава на някой брат от имотите на нашия манастир нито паричко място[1], нито друга земя, нито градина или лозе, нито нещо друго от притежанията на речения манастир, за да не се наруши прекрасното съгласие и единодушие на братството, нито пък да ги продава или да ги отчуждава на някои лица. Прочее така настоятелно и неотменимо нареждам и завещавам да не се допусне не само да бъде извършено, но дори и да се помисли да бъде отчуждено каквото и да било от имуществото на манастира, на което и да било лице освен само на парищите, които служат на манастира.

Κεφάλαιον λγ

15. Περὶ τοῦ ἀσφαλῶς φυλάττειν τὸν παρόντα τόμον τῆς μονῆς τῆς τυπικῆς διατάξεως τῆς πολλάκις ῥηθείσης νεοδμήτου σὺν θεῷ καθ᾽ἡμᾶς εὐαγεστάτης μονῆς καὶ τοῦ μηδὲν τῶν ἐμπεριεχομένων αὐτῷ, ὡς παρ᾽ἡμῶν τετύπωται, μετακινηθῆναι ἢ ἀλλοιωθῆναι ἢ τὴν οἱανοῦν δέξασθαι ὕφεσιν

Εἰς κύριον τὸν θεὸν ἐνορκῶ τοὺς μετ᾽ἐμὲ τὴν πρόνοιαν ποιουμένους καθηγουμένους τε καὶ λοιποὺς ἀδελφοὺς τῆς τοιαύτης μονῆς καὶ τοὺς περὶ αὐτούς τε καὶ ὑπ᾽αὐτοὺς καὶ ἐπιτιμίοις ἐξασφαλίζομαι τούτους, ἵνα μὴ τολμήσωσι τῶν παρ᾽ ἐμοῦ τυπωθέντων ἐν τῇ ἡμετέρᾳ μονῇ ἀλλοιῶσαί τι ἢ ὕφεσιν ἢ μείωσιν τῶν ἀνηκόντων αὐτῇ καὶ διαφερόντων οἱῳδήτινι τρόπῳ ἐργάσασθαι ἢ παραλογίσασθαι τὰ διορισθέντα παρ᾽ἡμῶν (ἢ τὰ ἐξηγοῦν μερικὰ κατὰ τὴν γνώμην τους διὰ νὰ ἀπατήσουν καὶ τοὺς λοιπούς· πρὸς τούτοις ἐάν τις βουλήσεται) ἢ τὸ παρὸν τυπικὸν παραλλάξαι κατά τι ἢ μεταποιήσασθαι ἢ ὡς μιᾶς συλλαβῆς τούτου ἀποσπάσασθαι ἤ τε καθόλου ἀπολέσαι ἢ κλέψαι πειράσεται καὶ ἐκ τῆς μονῆς ταύτης ἀλλοτριῶσαι καὶ τῶν διατεταγμένων παρ᾽ἡμῶν ταύτην στερήσασθαι, ὁ τοιοῦτος ἔσται κατακεκριμένος ἀπὸ κυρίου θεοῦ παντοκράτορος καὶ ἀφωρισμένος πάντων τῶν ἁγίων αὐτοῦ καὶ τῆς ἡμετέρας ἀγανακτήσεως καὶ | ἁμαρτίας ἔνοχος καὶ ὀφειλ της τῶν ἡμετέρων παραπτωμάτων ἐνώπιον τοῦ Χριστοῦ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ἐν ᾗ γένοιτο πάντας ἡμᾶς ἀνενόχους εἶναι καὶ κατακρίσεώς τε καὶ κολάσεως, καὶ τῶν αἰωνίων ἀγα-

Глава XXXIII

15. Настоящият текст на манастирския устав на често споменавания новооснован с божия помощ наш пресвет манастир да се пази сигурно и нищо от съдържащите се в него [наредби], както са издадени от нас, да не се променя или отстранява или да се обезсилва

Заклевам в господа бога игумените и останалите братя, които след мене ще имат грижата за този манастир, и тези, които са около тях и подвластни тям, че ги предпазвам посредством църковни наказания, за да не се осмеляват да променят нещо от нареденото от мене в нашия манастир или да извършат по някакъв начин осуетяване или намаляване на припадащите и принадлежащите нему имущества, или пък да изопачават нашите разпореждания, или да ги тълкуват частично по тяхно усмотрение, за да заблуждават и останалите. Освен това, ако някой поиска или да промени в нещо настоящия типик, или да го преиначи, или да заличи дори една сричка от него, или се опита изцяло да го унищожи или открадне и да го отстрани от този манастир и да лиши манастира от нашите разпоредби, този човек да бъде осъден от господа бога вседържител и да бъде отлъчен от всички божи светии. Такъв човек да понесе нашето негодуване и греховност и да отговаря за нашите прегрешеиия пред лицето на Христа в деня на страшния съд, в който дано всички ние не бъдем подложени на осъждане и наказание

[1] Паричко място — земя, владяна от зависимите селяни, смятана за тяхна собственост и предавана от тях в наследство. Вж. *А. П. Каждан*, Аграрные отношения в Византии XIII—XIV вв., стр. 111; *Литаврин*, Болгария и Византия, стр. 160—161, 175; *М. М. Фрейденберг*, Монастирская вотчина в Византии XI—XII вв., Ученые записки Великолукского государственного педагогического института, т. IV, вып. 2, 1959, стр. 70; *П. Тивчев*, Към въпроса за селското население във Византия през XII в., ГСУфиф, LIII, 2, 1959, стр. 514—516.

θῶν ἐν μεθέξει γενέσθαι καὶ ἀπολαύσει αἰωνιζούσῃ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς αἰῶνας τῶν αἰώνων, ἀμήν (pp. $51_{24}-52_{15}$).

и да бъдем съпричастни във вечните блага и във вечно общение с Исуса Христа господа наш, комуто да бъде слава во веки веков, амин.

II

16. Δια τῶν ἱερῶν κειμηλίων καὶ σεπτῶν ἁγίων εἰκόνων καὶ λοιπῶν παντοίων ἀναθημάτων τῶν προσκυρωθέντων ἀφιερωθέντων τε καὶ παραδοθέντων εἰς τὴν καθ᾽ἡμᾶς δηλωθεῖσαν μονὴν ἁγίαν, ἔτι τε μὴν καὶ τῶν ὑπ᾽αὐτὴν φορβαδίων ζῴων τε καὶ λοιπῶν τετραπόδων

II

16. За свещените съкровища и честните свети икони и всички останали дарения, определени, посветени и предадени на споменатия наш свет манастир, а също така и за неговия товарен добитък и останалите четириноги

Εἰκόνες χρυσαῖ χειμευταὶ δύο ἔχουσαι ἔσωθεν τίμια ξύλα. εἰκὼν χειμευτὴ μεγάλη ἡ Μεταμόρφωσις. εἰκὼν χειμευτὴ διὰ λίθων μεγάλη ὀκτάγωνος. εἰκὼν χειμευτὴ μικρὰ διὰ θυρίδων ἡ Θεοτόκος. τίμιος σταυρὸς χειμευτὸς μέγας διὰ λίθων τῆς ἁγίας τραπέζης. σταυρὸς ἀργυρὸς στρατηγικὸς διὰ λίθων κοκκίνων. σταυρὸς ξύλινος ἠμφιεσμένος μετὰ χρυσοῦ καὶ λίθων πέντε ὑακινθίνων μενεψῶν. εἰκὼν ἡ Σταύρωσις λίθινος διὰ θυρίδων. εἰκὼν ὁ ἅγιος Γεώργιος ὑλογραφία μετὰ ἀργυρῶν περιφερίων. εἰκόνες ὑλογραφίαι μετὰ πετάλλων τὸν ἀριθμὸν εἰκοσιεπτὰ καὶ τέμπλον ἓν ἔχον τὰς δώδεκα ἑορτάς. εἰκὼν ὁ ἅγιος Γεώργιος καὶ ὁ ἅγιος Θεόδωρος σαρούτην μετὰ ἀργυρῶν περιφερίων.

Две икони от златна сплав, които имат отвън късчета от честния кръст. Голяма икона от златна сплав — Преображението. Голяма осмоъгълна икона от златна сплав със скъпоценни камъни. Малка икона от златна сплав с прозорчета — Богородица. Голям честен кръст от златна сплав със скъпоценни камъни на светата трапеза. Сребърен военачалнически кръст с червени камъни. Дървен кръст, обкован със злато и с пет тъмновиолетови камъка. Икона на Разпятието със скъпоценни камъни, с прозорчета. Икона на свети Георги, изписана на дърво, със сребърна обковка по края. Икони, изписани на дърво, на брой двадесет и седем, с листа и един иконостас, имащ дванадесет [изображения] на празници. Икона на свети Георги и на свети Теодор от мед със сребърна обковка по края.

Δισκοποτήρια ἀργυρᾶ διάχρυσα μετὰ λίθων ζυγὴ μία, ἐξ ὧν λείπουσι λίθοι δώδεκα. δίσκος ἴασπις διὰ χρυσοῦ καὶ χειμεύσεως. δισκοποτήρια ἀργυρᾶ ζυγαὶ τρεῖς. λαβὶς ἀργυρᾶ μία. θυμιατοὶ ἀργυροὶ τρεῖς καὶ ὕπτριον ἀργυροῦν ἕν. θήκη ἤτοι συστάριον ἁγίων λειψάνων ἀργυροῦν. πολυκάνδηλα ἀργυρᾶ δύο μετὰ τῶν ἁλυσιδίων αὐτῶν, ἐξ ὧν τὸ ἕνα διάχρυσον.

Сребърни позлатени чаши с поднос, със скъпоценни камъни, една двойка, на които липсват дванадесет камъка. Дискос от сплав с яспис и позлата. Сребърни чаши и подноси, три двойки. Лъжица, сребърна, една. Кадилници, сребърни, три. Един сребърен съд. Сребърно сандъче или кивот за светите мощи. Сребърни полилеи, два, заедно със своите верижки, една от които позлатена.

Εὐαγγέλιον ῥωμαϊκὸν διὰ λίθων πολυτίμων καὶ χρυσοῦ καὶ χειμεύσεως. τετραευάγγελον ἀργυροῦν διάχρυσον ἰβηρικόν. ἕτερον τετραευάγγελον μικρὸν μετὰ ἀργυρῶν μικρῶν καρφίων. ἕτερον τετραευάγγελον μετὰ καρφίων ἀργυρῶν. εὐαγγέλιον καθημερινὸν ἀργυρὸν διάχρυσον. ἕτερον εὐαγγέλιον καθημερινὸν λιτόν.

Гръцко евангелие със скъпоценни камъни със злато и златна сплав. Грузинско четвероевангелие, сребърно, позлатено. Друго малко четвероевангелие с малки сребърни скоби. Друго четвероевангелие със сребърни скоби. Евангелие за всеки ден, сребърно, с позлата. Друго евангелие за всеки ден, без украса.

Βιβλίον ἔχον τὴν ἑρμηνείαν τοῦ εὐαγγελίου τοῦ κατὰ Ἰωάννην. βιβλίον ὁ Θεολόγος. | βιβλίον ἔχον τὰ Ἠθικὰ τοῦ ἁγίου Βασιλείου. βιβλίον ἐκλογάδιον ἔχον τὰ θαύματα τοῦ ἁγίου Συμεών. βιβλία τοῦ

Книга, съдържаща тълкуването на евангелието от Йоан. Книга на Богослов[1]. Книга, която съдържа Етиката на свети Василий. Книга, която съдържа избрани места от чудесата на свети Симеон. Две книги на свети Максим,

[1] Става дума за Йоан Богослов.

ἁγίου Μαξίμου δύο. βιβλία οἱ Κλίμακες δύο. ἕτερα βιβλία δύο τῆς Θεοτόκου. βιβλίον τοῦ Στουδίτου.

Μηναῖα τρία. ὀκτάηχος μία. συναξάριον ἕν. εὐχολόγιον ἕν. ἀπόστολοι δύο. βιβλίον ψαλτικὸν ἕν. ἕτερον εὐχολόγιον μετὰ καρφίων ἀργυρῶν. βιβλίον τετράηχος. παρακλητικὴ μία. βιβλίον τοῦ ἁγίου Ἰσαάκ. ἕτερον μηναῖον ἐκλογάδιον ἕν.

Две книги Лествици. Други две книги на Богородица. Книга на Студит[1].

Месецослови - - три. Осмогласник — един. Синаксар — един. Молитвеник — един. Апостоли — два. Псалтир — един. Друг молитвеник със сребърни скоби. Четиригласник. Требник - - един. Книга на свети Исак. Друг месецослов с избрани места — един.

Ἐπιλώρικα βασιλικὰ ὀξυκάστωρα τέσσαρα, ἐξ ὧν τὸ ἓν χρυσοῦν. σφιγτούρια τέσσαρα διὰ γραμμάτων χρυσῶν. βλαττία ὀξυκάστωρα δύο. σκαραμάγκια βαρέα πέντε. βλαττὶν μαυριανίτι ἕν . βλαττὶν τριβλάττιον ἕν. σκαραμάγκιον ἕτερον ἕν.

Царски нагръдници, тъмночервени — четири, - - един от които златен. Четири дрехи със златни букви. Тъмночервени копринени покривки — две. Тежки скарамангии[2] — пет. Тъмновиолетова покривка — една. Трицветна копринена покривка - - една. Друг скарамангий - - един.

Ἐνδυτὴ τῆς ἁγίας τραπέζης μαυριανίτης μετὰ πάσης τῆς ἐξοπλίσεως αὐτῆς μία. ἐνδυταὶ δύο ὁμοίως τῶν ἁγίων τραπεζῶν τῶν ἑτέρων τῶν δύο ἐκκλησιῶν ὁλόκληροι. ἑτέρα ἐνδυτὴ τῆς ἁγίας τραπέζης ἄσπρον ἐξάμιτον ἔχουσα εἰκόνα τὴν θεοτόκον διὰ μαργάρων. ἀλλαξίματα πρεσβυτέρων. ὠμοφόρια τρία, ἐξ ὧν τὸ ἓν ἔχει εἰκόνα διὰ μαργάρων. ἕτερον ὠμοφόριον σιμέντον. ἕτερα τρία ὠμοφόρια μεταξωτά.

Калъф за светата трапеза, тъмновиолетов, с всичките си приспособления — един. Други два калъфа за светите трапези на другите две църкви, напълно стъкмени. Друг калъф на светата трапеза от бяла сърма, който има изображение на Богородица с бисери. Свещенически одежди. Три омофора[3], един от които има изображение с бисери. Друг омофор от сърма. Други три омофора, копринени.

Μανουάλια χαλκᾶ μεγάλα δώδεκα. ἕτερα μικρὰ δύο. τοῦ τέμπλου μανουάλιον ὁλόκληρον ἓν μετὰ τῶν κηροπηγίων αὐτοῦ. ἕτερα μικρὰ δύο μετὰ τῶν διὰ χειρῶν κρατημάτων αὐτῶν. καμάραι μανουάλια δύο. δρακοντάρια ἐννέα μετὰ τῶν ἀβηνῶν αὐτῶν. ἕτερα δρακοντάρια δέκα ἄνευ ἀβηνῶν. πολυκάνδηλα δεκαεπτὰ μετὰ τῶν ἀβηνῶν αὐτῶν. λεκάνη τῶν Φώτων μικρὰ μία. κανίσκιον ἕν. | Χερνιβόξεστον καὶ σελίον ἕν. μουχρούτια ποτήρια δεκαεπτά. ξεστεῖον ἓν ὁμοίως. σκουτέλιον ἓν ὁμοίως. ἕτερον ξεστεῖον κρύον. ἕτερον ξεστεῖον πράσινον τὸ λεγόμενον μηνᾶ. ἕτερα ὑάλια ποτήρια. κανδῆλαι διάφοραι (pp. 52_{16}—54_2).

Големи медни ръчни свещници — дванадесет. Други малки — два. Свещник на иконостаса, напълно стъкмен, заедно с места за свещите — един. Други два малки заедно с дръжките им. Сандъчета, ръчни — две. Девет хоругви заедно с ремъците им. Други десет хоругви без ремъци. Полилеи — седемнадесет, — с верижките им. Блюдо със слънца, малко — едно. Кошница — една. Кован купел и седло — едно. Чаши, черни — седемнадесет. Още един купел. Също и едно блюдо. Друг купел за разхлаждане. Друг купел, зеленясал, наречен мина. Други стъклени чаши. Различни кандила.

17. Διὰ τῶν ζῴων

Ἄλογα ἀρρενικά τε καὶ φοράδια μετὰ καὶ τῶν πωλαρίων αὐτῶν ἀμφότερα ἑκατὸν δέκα. ὀνικὰ ἀρρενικά τε καὶ θήλη μετὰ τῶν πωλαρίων αὐτῶν δε-

17. За добитъка

Коне и кобили заедно с малките им — общо сто и десет. Магарета, мъжки и женски, заедно с малките им — петнадесет. Би-

[1] Т. с. книгата на известния богослов от края на VIII и началото на IX в. Теодор Студит, автор на редица полемични творби, насочени срещу иконоборството. В началото на IX в. направил опит да реформира монашеския институт и за целта написал устав на Студийския манастир в Цариград. В него се предвиждало за монасите освен молитви да преписват стари книги и др. По-късно този устав се разпространил и служел като образец при съставянето на типиците на други манастири. Вж. *Д. Ангелов*, История на Византия, I, София, 1959, стр. 314—315; *Ив. Гошев*, Правилата на Студийския манастир, ГСУ, XVII, 1940. [2] Скарамангият бил връхна дреха, употребявана от военните при лошо време. Имало и официални скарамангии за дворцови приеми, които се отличавали от обикновения скарамангий по цвят, материя и пр. Вж. *Du Cange*, Glossarium s. v. *σκαραμάγγιον*; срв. *N. P. Kondakov*, Les costumes orientaux à la cour de Byzance, Byzantion, I (1925), pp. 7—49; *F. Cumont*, L'uniforme de la cavalerie orientale et le costume byzantin, Byzantion, II (1925), pp. 181—191. В случая се имат пред вид скъпи църковни одежди. [3] Омофор — част от одеждите на висшите църковни служители. Той се състоял от две тесни, немного дълги парчета плат, които се спускали отпред и отзад през раменете. Първоначално омофорът служел за украшение на източноримските императори; постепенно и патриарсите на Източната църква започнали да носят омофор като признак на висша църковна власт. Омофорите били правени от скъпи материи и богато украсявани.

καπέντε. βουβάλια ἀμελγάδια τέσσαρα. μοσχάρια δύο. βόες καματεροὶ διὰ τῶν ὄντων ἐν πᾶσι τοῖς κτήμασι τῆς μονῆς, ζευγάρια τεσσαράκοντα ἑπτά. ἀγελάδια καὶ ταυρία ἑβδομήκοντα δύο. πρόβατα ἀμελγάδια διακόσια τριάκοντα ὀκτώ. κριάρια ἐννενήκοντα τέσσαρα. αἶγες πεντήκοντα δύο (p. 54_{2-9}).

волици, дойни — четири. Телета — две. Волове, работни, във всички имоти на манастира — четиридесет и седем чифта. Пасищни говеда и бикове — седемдесет и два. Овце, дойни — двеста тридесет и осем. Овни — деветдесет и четири. Кози — петдесет и две.

18. Διὰ τῶν χρυσοβούλλων τῶν φυλαττομένων ἐν Κωνσταντινουπόλει εἰς τὴν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν

Χρυσοβούλλια τρία περὶ τῶν ἐν τῇ Ἀνατολῇ κτημάτων ἡμῶν ἤγουν τὸ μὲν ἓν τοῦ μέρους τοῦ Ἀνίου, τὸ δὲ ἕτερον τοῦ Ταΐς, καὶ τὸ ἕτερον τοῦ Τζούρμερη. — Χρυσόβουλλα δύο περὶ τῶν ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν κτημάτων μου, τὸ μὲν ἓν ἐν τοῖς Λάβακας, τὸ δὲ ἕτερον τοῦ Ἀρνασακίου καὶ Μαρτισαπαῶ. — Χρυσόβουλλα ἐν ταῖς μοναῖς τῆς κυρᾶς Εὐφροσύνης τοῦ χωρίου Λιβασίου. — Χρυσόβουλλα τρία τοῦ κὺρ Μιχαὴλ περὶ τῶν ἐν Μοσυνοπόλει κτημάτων μου. — Χρυσόβουλλα τέσσαρα περὶ τῶν ἐν Φιλιππουπόλει κτημάτων μου. — Χρυσόβουλλα ἀθφώσεως τῆς ἐν τῷ Κάρσε πράξεώς μου. | χρυσόβουλλα δύο ἀθφώσεως τῆς ἐν Θεοδοσιουπόλει πράξεώς μου. — Χρυσόβουλλον ἕτερον ἐξκουσίας περὶ τῶν ἐν Φιλιππουπόλει κτημάτων μου καὶ τῆς Μοσυνοπόλεως. — Χρυσόβουλλον περὶ τοῦ χωρίου τῆς Ξανθείας. — Χρυσόβουλλον τοῦ Μάργωνος ξυλοχάρτιον, ὅπερ ἔχω ἐν τάξει ἐνεχύρου.

Λίβελλοι δύο, ὁ μὲν εἷς περὶ τοῦ χωρίου τοῦ Εὐδοκίμου, ὁ δὲ ἕτερος περὶ τοῦ χωρίου τοῦ Κοτρέσι. — Ἡ σημείωσις τοῦ κυροῦ Μιχαὴλ περὶ τῆς κινηθείσης τότε ὑποθέσεως τοῦ Μπατζινάκου. — Ὁμοίως ἑτέρα σημείωσις τοῦ αὐτοῦ περὶ τοῦ μητροπολίτου Φιλιππουπόλεως. — Ἑτέρα σημείωσις τοῦ Βοτανιάτου περὶ τῶν κτημάτων τῆς Φιλιππουπόλεως. — Βασιλικὰ πιττάκια τὰ καταστρωθέντα εἰς διάφορα σεκρέτα καὶ ἕτερα πιττάκια περὶ διαφόρων ὑποθέσεων ἑξήκοντα καὶ πέντε. — Εἰσὶ δὲ τὰ ἴσα τῶν τριῶν χρυσοβούλλων τῶν ἐν τῇ Ἀνατολῇ κτημάτων μου (p. 54_{10-32}).

18. За хрисовулите, които се пазят в Цариград в църквата Света София

Три хрисовула за нашите имоти на Изток, сиреч един за областта Ани, другият — за Таис, и третият — за Цурмери. Два хрисовула за имотите ми в тема Арманиак. Единият за имотите в Лавака, а другият — за Арнасакий и Мартисапао. Хрисовул в манастирите на госпожа Ефросина за село Ливадион[1]. Три хрисовула на господин Михаил[2] за имотите ми в Мосинопол. Четири хрисовула за имотите ми във Филипопол. Хрисовули за изпълнение на службата ми в Карс. Два хрисовула за изпълнение на службата ми в Теодосиупол. Друг хрисовул за ексусия на имотите ми във Филипопол и Мосинопол. Хрисовул за селото Ксантея. Хрисовул на Маргон, книжен, който държа като залог.

Два описа, единият за селото Евдоким, а другият — за селото Котрес[3]. Решение от господин Михаил[4] за повдигнатата тогава тъжба от Бацинак[5]. Друго такова разрешително от същия за [имуществото] на филипополския митрополит. Друго разрешително от Ботаниат[6] за имотите във Филипопол. Императорски питакии[7], заверени в различни служби, и други питакии за различни случки — шестдесет и пет. Имам и копията на трите хрисовула за имотите ми в Изтока.[8]

19. Διὰ τῶν χρυσοβούλλων τῶν ἐναποκειμένων καὶ παραφυλαττομένων ἐν τῇ καθ' ἡμᾶς μονῇ

Χρυσοβούλλια δύο ἀθφώσεως τῆς πράξεώς μου τοῦ μεγάλου δομεστικάτου. — Χρυσόβουλλον ἓν τοῦ κάστρου Βάνιστας καὶ τοῦ χωρίου τῶν Τζερβε-

19. За хрисовулите, които се намират и пазят в нашия манастир

Два хрисовула за изпълнение на службата ми на велик доместик. Един хрисовул за крепостта Ваниста и селото Червен[9]. Хри-

[1] Под влияние на монашеската партия начело с Теодор Студит Михаил I не се съгласил с едно от предлаганите условия — да бъдат връщани бегълците от едната и от другата страна — и предложението на Крум било отхвърлено. Срв. *Златарски*, История, I, 1, стр. 263. [2] Императрица Прокопия. [3] Така се наричала равнината при гр. Ираклия по името на намиращия се там римски водопровод (Aquaeductus). *K. Jireček*, Die Heerstrasse von Belgrad nach Konstantinopel, Prag, 1877, p. 101. [4] Става дума за голямата победа, която българите удържали над византийските войски на 22 юни 813 г. при Версиникия. Срв. *Златарски*, История, I, 1, стр. 267—269.

στρατιωτῶν τε καὶ στρατηγῶν. μόλις δ᾽ὁ βασιλεὺς εἰς τὴν Κωνσταντίνου μετ᾽ ὀλίγων τινῶν φυγῇ διασώζεται, τοῦ χάρακος καὶ τῆς σκηνῆς τῆς βασιλικῆς γεγονότων τοῖς βαρβάροις διάρπαγμα (pp. 314_3—318_7).

те хора да ги преследват и извършил голяма сеч над войници и военачалници. Императорът едва се спасил с бягство заедно с неколцина в Цариград, а станът и шатрата на императора станали плячка на варварите.

26. Crummus ab exercitu Romano profligatus est

Τῶν μέντοι Βουλγάρων τὴν Θρᾴκην ληιζομένων, διεπρεσβεύσατο πρὸς τὸν αὐτῶν ἀρχηγὸν ὁ Λέων περὶ σπονδῶν. ὁ δὲ τῇ νίκῃ τῇ ἔναγχος ὀγκωθεὶς τὴν πρεσβείαν τὴν περὶ τῶν σπονδῶν οὐ προσήκατο. οἰκοῦν ἐξεστράτευσεν ὁ βασιλεὺς κατ᾽αὐτοῦ, καὶ αὖθις ἡ νίκη τοῖς βαρβάροις ἐπεμειδία, καὶ εἰς φυγὴν ἀποδύντων Ῥωμαίων, ἐδίωκον οἱ βάρβαροι ὄπισθεν καὶ καταφρονητικῶς διακείμενοι οὐ κατὰ κόσμον οὐδ᾽ εὐσυντάκτως ἐδίωκον, ἀλλὰ ἄλλοσέ ποι ἄλλοι σκεδαννύμενοι. τοῦτο κατανοήσας ὁ βασιλεύς (ἔτυχε γὰρ ἐπὶ μετεώρου τόπου ἑστώς) καὶ τοὺς περὶ αὐτὸν λόγοις παραθήξας παρακλητικοῖς καὶ παρορμήσας εἰς πόλεμον ἐπεισέφρησε κατὰ βαρβάρων μετὰ γενναίου ψυχῆς παραστήματος, καὶ τῇ ἀθρόᾳ μεταβολῇ δείματι τοὺς πολεμίους ἐνέβαλε πανικῷ, καὶ ἀνῄρηντο μὲν πλείους, ᾐχμαλώτιστο δὲ καὶ πλῆθος πολύ. μικροῦ δὲ καὶ αὐτὸς ὁ Κροῦμος ἀνῄρητο ἄν βληθεὶς καὶ τοῦ ἵππου ἐκπεπτωκώς, εἰ μὴ περιστάντες αὐτὸν οἱ περὶ αὐτὸν καὶ συνησπικότες εἰς ἵππον ἀνέλαβον ἕτερον, καὶ οὕτως ᾤχετο ἀποδράς. ἐντεῦθεν ὁ βασιλεὺς τροπαιοφόρος κατέλαβε τὰ βασίλεια καὶ λείαν ἄγων πολλὴν οὐ πολὺ τὸ ἐν μέσῳ καὶ τῆς κατὰ τῶν σεβασμίων εἰκόνων λύττης ἀπήρξατο (pp. 321_9—322_{11}).

26. Крум търпи поражение от византийската войска

Когато българите плячкосвали Тракия, Лъв[1] изпратил пратеници при техния вожд, за да преговарят за мир. А той, възгордян от неотдавнашната победа,[2] не приел пратениците за преговорите. И тъй императорът потеглил на поход срещу него и отново победата се усмихнала на варварите и след като ромеите се впуснали да бягат, варварите започнали да ги преследват отзад и презирайки [войската им], не ги преследвали в ред и в добър строй, но разпръснати на различни страни. Когато императорът съгледал това (защото той стоял на една височина), ободрил с насърчително слово намиращите се около него и ги изпратил на бой срещу варварите с повишен дух. Внезапният обрат всял панически страх между варварите и мнозина били избити и голямо множество паднали в плен. Насмалко самият Крум, който бил ранен и паднал от коня си, щял да бъде убит, обаче неговите хора го заобиколили с щитовете си, качили го на друг кон и така успял да избяга. След това императорът победоносно се завърнал в столицата, водейки голяма плячка,[3] и наскоро след това започнал борба срещу свещените икони.[4]

27. De Thomae rebellione

Ὁ δὲ λόγος τὰ τότε ξυμβεβηκότα διδότω τῇ ἱστορίᾳ· τὰ δ᾽ἦσαν ἐμφύλιοι πόλεμοι. ὁ δὲ τούτων κατάρξας Θωμᾶς ἦν, εἷς τῶν τριῶν τυγχάνων ἀνδρῶν, περὶ ὧν ἐν τῷ Φιλομηλίῳ μοναχὸς τῷ Βαρδανίῳ προέφησε τοὺς μὲν δύο ἐπιβήσεσθαι τῆς βασιλείου ἀρχῆς τὸν δέ γε τρίτον (ὃς οὗτος ἦν ὁ Θωμᾶς) ἐπιχειρῆσαι μὲν τυραννίδι καὶ ἑαυτῷ περιθέσθαι διάδημα, μὴ μέντοι καὶ τῆς βασιλείας τυχεῖν.

27. Въстанието на Тома Славянина

Нека разказът ми запази за историята това, което се случило тогава. Била настанала гражданска война. Този, който я започнал, бил Тома, един от тримата мъже, за които монахът от Филомилий[5] предсказал на Варданий[6], че двамата ще се възкачат на царския престол, а третият (той бил именно Тома[7]) ще направи опит за узурпация и ще си сложи короната, но няма да достигне до

[1] Лъв V Арменец (813—820). [2] Победата при Версиникия. [3] Събитията се отнасят към есента на 813 г. Срв. *Златарски*, История, I, 1, стр. 272—279. [4] Лъв V Арменец възобновил иконоборството, като свикал събор през пролетта на 815 г. Срв. *Острогорски*, Историја, стр. 205—206; *Ангелов*, История, I, стр. 291—292. [5] Филомилий — град в областта Фригия (Мала Азия), дн. Ак Шехир. [6] Варданий — висш военачалник на малоазийските войски, който вдигнал неуспешен бунт в 803 г. срещу император Никифор I. Срв. *Острогорски*, Историја, стр. 200—207. [7] Тома, известен обикновено като Тома Славянина, вдигнал въстание срещу император Михаил през 821—823 г. За това въстание вж. *Е. Э. Липшиц*, Восстание Фомы Славянина и византийское крестьянство на грани VIII—IX в., ВДИ, 1939, кн. 1, стр. 352—365. Приема се, че Тома бил славянин по произход. Срв. *М. Райковић*, О порекло Томе, вође устанка 821—823, Зборник Радова, кн. XXXVI, Византолошки институт, кн. 2, 1953, стр. 33—38; *Ангелов*, История, I, стр. 292, бел. 1; ГИБИ, т. IV, София, 1961, стр. 321; *А. П. Каждан*, Деревня и город в Византии, IX—X в., Москва, 1960, стр. 350; *Липшиц*, Очерки истории византийского общества и культуры, стр. 212—228.

οὗτος τοίνυν, ὡς ἤδη μοι εἴρηται, ἄρχων καταστὰς τοῦ τάγματος τῶν φοιδεράτων παρὰ τοῦ Λέοντος, ὡς ἔγνω τὸν εὐεργέτην ἀναιρεθέντα παρὰ τοῦ Μιχαήλ, τῷ μὴν δοκεῖν τιμωρῶν ἐκείνῳ, τῷ δ' ὄντι τὴν βασιλείαν καραδοκῶν ἀνταίρει τῷ Μιχαὴλ καὶ συναλίσας δύναμιν οὐκ εὐκαταφρόνητον ἅπασαν σχεδὸν τὴν ἑῴαν μοῖραν ἐσφετερίσατο καὶ τοὺς δημοσίους φόρους αὐτῷ κομίζεσθαι παρεσκεύαζε. καὶ πολὺς ἐντεῦθεν γενόμενος ἐπῆλθε καὶ τοῖς Ἀγαρηνοῖς ἀδεέστερον τότε πᾶσαν ληιζομένοις χώραν καὶ τὰς νήσους αὐτὰς διὰ τὸν ἐμφύλιον πόλεμον. καὶ ἐπελθὼν ἀνέκοψε τῆς φορᾶς καὶ ἀνακόψας παρεστρατοπεδεύσατο καὶ ἐς λόγους ἦλθεν αὐτοῖς καὶ ἥκων εἰς λόγους ἐσπείσατο ἐπὶ συνθήκαις τοῦ Ῥωμαϊκῶν ὁρίων παραχωρῆσαι αὐτοῖς, εἰ τῆς βασιλείας ἐγκρατὴς γένοιτο. οὕτω δὲ ταῦτα διοικησάμενος καὶ τὴν κεφαλὴν ἀνεδήσατο ταινίᾳ βασιλικῇ καὶ αὐτοκράτωρ ἀνερρήθη κατὰ τὴν Ἀντιόχειαν παρὰ τοῦ τότε τὸν θρόνον αὐτῆς τὸν πατριαρχικὸν ἔχοντος. Ἰὼβ δ' ἐκεῖνος ἐκέκλητο. κἀκεῖθεν ὁρμηθεὶς σὺν μεγάλῳ στρατεύματι (ἔτυχε γὰρ συμμάχων οὐκ Ἀγαρηνῶν μόνον, ἀλλὰ καὶ ἐξ ἑτέρων ἐθνῶν πλειόνων) τῇ τυραννίδι κραταιότερον ἐπεχείρησεν. ἦν δὲ ὁ Θωμᾶς οὗτος οὐ τῶν εὐπατριδῶν, ἀλλὰ καὶ τῶν λίαν ἀσήμων καὶ τούτων βαρβάρων, καὶ ἀπορίᾳ σύντροφος τῇ ἐσχάτῃ, ὥστε καὶ δουλεύειν μισθοῦ. ἀναχθεὶς δ' ὑπὸ τῆς τύχης, ὡς εἴρηται, καὶ τυραννίδι ἐπιχειρήσας τήν τε κλῆσιν μετέθετο, Κωνσταντῖνον ἑαυτὸν ὀνομάσας καὶ κοινωνὸν τῆς βασιλείας, ὡς ᾤετο, προσελάβετο, υἱὸν εἰσποιητὸν οἰκειωσάμενός τινα. τοῦ δὲ Μιχαὴλ στρατιὰν κατ' αὐτοῦ ἐσταλκότος, συμβαλὼν ἐκεῖνος αὐτῇ τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ φυγάδας ἀπέφηνεν. ἐντεῦθεν κραταιότερον τῆς τυραννίδος ἐπείληπτο καὶ στόλον ἐξαρτυσάμενος, ἀλλὰ μὴν καὶ τὸ βασιλικὸν ναυτικὸν ὑφ' ἑαυτὸν ποιησάμενος ἐξ Ἀβύδου πρὸς τὴν Θρᾴκην ἐπεραιώθη καὶ τὰ τῆς ἑῴας ἅπαντα σχεδὸν ὑπηγάγετο, ἄνευ μέντοι τοῦ θέματος τοῦ Ὀψικίου, οὗ ὁ Κατάκυλας ἐστρατήγει, καὶ τοῦ τῶν Ἀρμενιακῶν· ὁ Ὀλβιανὸς δὲ τὴν στρατηγίδα τούτου εἶχεν ἀρχήν, ὃς δὴ λοχήσας καὶ τὸν τῷ τυράννῳ εἰσποιηθέντα υἱὸν κατασχὼν ἀνεῖλεν εὐθύς.

царска власт. Прочее той, както вече казах, станал началник при Лъв на отреда на федератите и когато узнал, че неговият благодетел е убит от Михаил[1], се разбунтувал срещу Михаил под предлог, че иска да му отмъсти, а в действителност жадувал за царска власт. И като събрал значителна войска, той превзел почти цялата източна област и наредил нему да се плащат държавните данъци. Като увеличил по тоя начин своята сила, той нападнал и агаряните, които тогава поради гражданската война безпощадно плячкосвали цялата страна и самите острови. Като излязъл срещу тях, той спрял тяхното настъпление и след като го спрял, се разположил на стан близо до тях, повел преговори с тях и сключил мир при условие, ако овладее властта, да им отстъпи част от ромейските предели. След като уредил това по такъв начин, той увенчал главата си с императорска диадема и бил провъзгласен в Антиохия за император от онзи, който тогава заемал патриаршеския престол. Той се именувал Йов. Оттам се отправил с голяма войска (той бил привлякъл съюзници не само измежду агаряните, но и от много други народи) и направил решителен опит за узурпация. Този Тома не бил от благородните, но от съвсем неизвестен и при това варварски произход и спътник на крайна нищета, та работел за пари. Воден от съдбата, както се казва, и стремейки се към върховна власт, той променил името си, като се нарекъл Константин, и привлякъл, както си мислел, и съучастник в държавното управление — като взел при себе си едного като осиновен син. Михаил изпратил войска срещу него и той влязъл в сражение с нея — едни [от войниците] избил, а други прогонил. След това още по-силно се устремил към узурпация. Приготвил си и флота, като взел под своя власт и императорските кораби, преминал от Абидос в Тракия и подчинил почти всички източни области с изключение на темата Опсикий[2], чийто военачалник бил Катакила, и темата Арнениак[3]. Военачалник на последната тема бил Олвиан, който заловил със засада осиновения син на узурпатора и веднага го убил.

Γενόμενος δ' ἐν τῇ Θρᾴκῃ, ὡς εἴρηται, ὁ Θωμᾶς προστιθεμένους αὐτῷ τοὺς ξύμπαντας ἔσχηκεν. αὖθις οὖν τοῦ βασιλείως κατά τε γῆν αὐτῷ συμμίξαντος καὶ κατὰ θάλασσαν, καὶ ἄμφω τὰς στρατιὰς ὁ τύραννος ἐτρέψατό τε καὶ διεσκέδασεν, υἱοθετήσατο δ' ἕτερον, τοῦ πρώτου κτανθέντος, ὡς εἴρηται,

След като Тома отишъл, както се каза, в Тракия, всички преминали на негова страна. Отново императорът се сразил с него и по суша, и по море и узурпаторът обърнал в бягство и разпръснал и двете войски и си осиновил друг син (понеже първият, както

[1] Михаил II Балба (820—829). [2] Темата Опсикион се намирала в западната част на Мала Азия. [3] Темата Армениак се намирала в северозападната част на Мала Азия.

Ἀναστάσιον μὲν καλούμενον, μοναχὸν δ᾽ὄντα, καὶ τὸ μὲν σχῆμα τὸ θεῖον ἀποδυσάμενον, στολὴν δὲ κοσμικὴν μεταμφιασάμενον. ἐς τοῦτο δ᾽ἧκεν ἀπορίας ὁ Μιχαὴλ ὡς σιδηρᾶν ἐκτεῖναι σειρὰν ἐξ ἀκροπόλεως εἰς τὸ κατ᾽ἀντιπέραν πολίχνιον, ἵν᾽ἄβατα τοῖς τοῦ τυράννου φυλάττοιτο τὰ ἐντός. ἀλλ᾽ὁ Θωμᾶς ὁμοῦ τῇ πόλει προσέβαλε κατὰ γῆν τε καὶ κατὰ θάλασσαν, τὴν σιδηρᾶν ἐκείνην ῥᾷστα διαρρήξας σειράν, καὶ ᾤετο, εἰ μόνον φανείη, τοὺς ἐν τῇ πόλει διὰ τὴν πρὸς τὸν κρατοῦντα ἀπέχθειαν εὐχερῆ τὴν εἴσοδον αὐτῷ παρασχεῖν. ἐπεὶ δ᾽ἐρρωμένους εὕρηκε τοὺς ἐντὸς πρὸς τὴν τῆς πόλεως φυλακὴν καὶ τῶν ἐλπίδων ἐψεύσθη, τότε μὲν ἀνεχώρησε καὶ βάλλεται χάρακα κατὰ τὸ τῶν θέων Ἀναργύρων ἱερώτατον τέμενος· ὁ τόπος δὲ τὰ Παυλίνου ὠνόμαστο. ἡμερῶν δέ τινων διαγενομένων καὶ κατὰ χέρσον αὖθις καὶ κατὰ θάλασσαν ἐπήνεγκε τῇ πόλει τὸν πόλεμον, ἑλεπόλεις τε καὶ κλίμακας ἐπαγόμενος. ὡς δ᾽ἑώρα τὰ τῆς σπουδῆς αὐτῷ πανταχόθεν ἀνήνυτα, τότε μὲν τὴν ψυχρὰν ἐκτρεπόμενος Θρᾴκην (χειμὼν γὰρ ἦν) τὴν στρατιὰν αὐτοῦ ταῖς χώραις διένειμεν, ἐν ταύταις σχολάσουσαν καὶ τὴν τοῦ χειμῶνος ἐκφευξομένην δριμύτητα. ἄρτι δὲ τοῦ ἔαρος ἐφεστῶτος καὶ πάλιν προσῆγε καὶ ἀμφοτέρωθεν τῇ πόλει τὴν στρατιὰν καὶ περιεκύκλου τὰ τείχη τῷ τε πεζῷ στρατεύματι καὶ τῷ ναυτικῷ. ἤδη δὲ καὶ τῷ Μιχαὴλ ἡτοίμαστο καὶ στόλος καὶ στράτευμα. λόγοις οὖν παρακλητικοῖς τοὺς οἰκείους παραθαρρύνας ὁ βασιλεὺς ἀθρόον ἐκ πλειόνων πυλῶν ἐξάγει τούτους καὶ συρρήγνυται τῷ τοῦ τυράννου λαῷ. οἱ δὲ τῷ αἰφνιδίῳ καὶ τῷ θάρσει τῶν ἐπιόντων ἀποδεδειλιακότες τὰ νῶτα μετέβαλον καὶ ἔπεσον πολλοί, καὶ ἡ νίκη τῶν ἐκ τῆς πόλεως ἦν. τὰ μὲν οὖν κατὰ χέρσον οὕτω συνηνέχθη τῷ ἀποστάτῃ· οὐ μὴν ἀλλ᾽ οὐδὲ τὰ κατὰ θάλασσαν κάλλιον ἔσχεν αὐτῷ. τὰς γὰρ βασιλικὰς τριήρεις τὸ τοῦ τυράννου ναυτικὸν θεασάμενον ἐπιούσας αὐτῷ οὐχ ὑπήνεγκεν, ἀλλ᾽εὐθὺς τὴν συμπλοκὴν μὴ θαρρῆσαν εἰρεσίᾳ συχνῇ πρὸς τὴν χέρσον κατήγοντο, καὶ οἱ μὲν ἀπεδιδρασκον, οἱ δὲ τῷ Μιχαὴλ αὐτομολοῦντες προσῄεσαν. ὁ δ᾽ἀποστάτης ἔτι τῆς τυραννίδος ἀντείχετο καὶ οὔτε τὸν χάρακα ἔλυσε καὶ τὸ ἐν Ἑλλάδι ἑτοιμασθὲν αὐτῷ ναυτικὸν μετεπέμψατο· καὶ τόδε παρῆν κατὰ Βυρίδας νεωλκησάμενον. ὃ γνόντες οἱ τοῦ στόλου τοῦ Μιχαὴλ νυκτὸς αὐτοῖς ἐπιτίθενται καὶ τινας μὲν ᾑρήκασι τῶν πολεμίων νηῶν, ἑτέρας δὲ τῷ ὑγρῷ πυρὶ κατενέπρησαν. κατὰ γῆν δὲ συχ-

казах, бил убит), наречен Анастасий, който бил монах, но свалил монашеското одеяние и облякъл мирска дреха. Михаил бил докаран до такава безизходност, че опънал желязна верига от крепостта до селището на отвъдния бряг, за да не може узурпаторът да влезе във вътрешността. Но Тома нападнал града едновременно по суша и по море, като разкъсал много лесно споменатата желязна верига и си мислел, че само като се появи, жителите на града ще улеснят влизането му от омраза към владетеля. След като видял, че жителите на града здраво го охраняват, и се излъгал в надеждите си, той се оттеглил и се настанил на лагер при пресветия храм на светите Безсребърници[1]. Това място се нарича Павлиново. След като минали няколко дни, отново предприел нападение срещу града по суша и по море, като носел със себе си стълби и стенобойни машини. След като видял, че неговите старания остават съвсем напразни, той напуснал студената Тракия — тогава било зима — и разпределил своята войска в областите, за да прекара в тях, като избегне острите зимни студове. Щом настъпила пролетта, отново довел войска срещу града и откъм сушата, и откъм морето и заобиколил градските стени с пехотна и морска войска. А и Михаил също така бил приготвил и флота, и войска. След като императорът насърчил своите хора с ободрителни думи, той внезапно ги извел навън през много врати и те се сразили с войската на узурпатора. А те, изплашени от внезапната поява и от смелостта на нападащите, обърнали гръб и мнозина паднали, а победата останала за жителите на града. Така завършили по суша работите на бунтовника. А не по-добро било и положението му по море. Защото флотата на узурпатора, като видяла, че настъпват императорските триери, не могла да издържи и като не се осмелила да влезе в сражение, веднага с ускорено гребане се упътила към сушата и едни от войниците избягали, а други преминали доброволно на страната на Михаил. А бунтовникът още жадувал за узурпация и не вдигал лагера, а дори повикал приготвената за него флота в Елада и тя, плавайки, пристигнала до Вирида[2]. Когато войниците от флотата на Михаил узнали това, през нощта ги нападнали и някои от неприятелските кораби заловили, а други изгорили с течния огън. А по суша станали многобройни сражения,

---

[1] Храмът „Св. Козма и Дамян", който се намирал в квартала, наречен „ἐν τοῖς Δαρείου". Срв. *Janin*, op. cit., p. 123. [2] Вирида — пристанище на Мраморно море, близо до Евдомон.

ναὶ μὲν ἐγίνοντο προσβολαί, Θεοφίλου τοῦ υἱοῦ τοῦ βασιλέως τοῦ λαοῦ προεξάρχοντος· ἀγχώμαλα δὲ τοῖς ἐναντίοις ἦσαν τὰ πράγματα καὶ οὐδενὶ μέρει καθαρῶς ἡ νίκη ἐπεμειδίασεν. ἐν τοσούτῳ δέ τι συμβὰν τῷ Θωμᾷ τὰ πράγματα ἔσφηλε· τῆς γὰρ φήμης πανταχοῦ τὴν τοῦ Θωμᾶ κηρυξάσης ἀποστασίαν καὶ τὴν πολιορκίαν τῆς πόλεως, Μορτάγων ὁ τῶν Βουλγάρων κατάρχων σπονδὰς ἐπὶ τοῦ Λέοντος τριακοντούτεις θέμενος καὶ φιλίως τότε Ῥωμαίοις ἔχων, αὐτεπάγγελτος ἧκε συμμαχήσων τῷ βασιλεῖ καὶ στρατοπεδεύεται κατὰ τὰ Κιδόκτου. τοῦτο τὸν ἀποστάτην ἐθρόησε. κρίνας δὲ ἀσύμφορον ἑαυτῷ ἅμα τε καὶ πολιορκεῖν καὶ τοῖς Βουλγάροις ἀντιστρατεύσασθαι (μερισθείσης γὰρ αὐτῷ τῆς δυνάμεως οὐκ ἀξιόμαχον ἑαυτὸν οὐδετέρῳ τυγχάνειν ᾤετο), κατὰ τῶν Βουλγάρων ἐχώρησε παντὶ τῷ στρατεύματι καὶ συμβαλὼν ἡττᾶται καὶ πολλοὺς μὲν ἀποβάλλει τῶν ἑαυτοῦ, τοὺς μὲν φθορέντας, τοὺς δὲ καὶ ἁλόντας. ὅσοι δὲ τόν τε βαρβαρικὸν ἀκινάκην ἐξέφυγον καὶ τὴν αἰχμαλωσίαν διέφυγον, τὸ μέλλον καραδοκοῦντες ἡσύχαζον. οἱ Βούλγαροι δὲ τοὺς αἰχμαλώτους καὶ λείαν πολλὴν ἐπαγόμενοι ἀνεζεύγνυον τῇ νίκῃ γαυρούμενοι. ταύτην τὴν ἧτταν τοῦ ἀποστάτου ὅσον ἐκ τοῦ στόλου αὐτοῦ περιελέλειπτο ἐγνωκὸς πρὸς τὸν Μιχαὴλ ηὐτομόλησεν. ἐν τοιούτοις δὲ ὁ τύραννος γεγονὼς καὶ πάντῃ ἐξασθενήσας, ὅμως ἔτι τοῦ πολιορκεῖν οὐκ ἀφίστατο, ἀλλὰ μηδὲν ἀνύων ἀπανίσταται μὲν τῆς προσεδρείας τῆς πόλεως, ἄπεισι δὲ πορρωτέρω, καὶ τινα τόπον εὑρὼν ἐπιτήδειον ἐν τούτῳ βάλλεται χάρακα, κἀκεῖθεν ὁρμώμενος ἐληΐζετο τῆς πόλεως τὰ προάστεια καὶ τὰς τούτων ἐκεράιζε χάριτας. ἐπῆλθε τοίνυν τούτῳ ὁ Μιχαὴλ, καὶ μάχης συγκροτηθείσης οἱ τοῦ Θωμᾶ ἑκόντες ἐτράπησαν εἰς φυγήν, καὶ οἱ μὲν τῷ βασιλεῖ προσερρύησαν, οἱ δ' ἐπὶ τὰ ἑαυτῶν ἀπῄεσαν ἕκαστοι. ὁ δέ γε τύραννος μετὰ βραχίστων εἰς Ἀδριανούπολιν ἄπεισι, καὶ ὁ Μιχαὴλ αὐτῷ κατ' ἴχνος ἀκολουθεῖ καὶ πολιορκεῖ τὴν πόλιν οὐχ ἑλεπόλεσιν, ἀλλὰ σπάνει τῶν ἀναγκαίων. καὶ οἱ τῆς πόλεως τῷ λιμῷ πιεζόμενοι ἀμνηστίαν τῶν ἐπταισμένων ἐκ τοῦ βασιλέως ᾐτήσαντο καὶ ταύτης τυχόντες δεσμοῦσι τὸν Θωμᾶν καὶ παραδιδόασι τῷ Μιχαήλ. ὁ δὲ ἀφαιρεῖται αὐτοῦ χεῖρας καὶ πόδας καὶ ὄνῳ ἐπιβιβάσας θριαμβεύει τὸν ἄτιμον θρίαμβον. εἶτα περὶ συνιστόρων πυνθάνεται, καὶ πολλοὺς ἂν ἐκεῖνος ἐξέφηνεν, εἰ μὴ ὁ Ἐξαβούλιος ὁ πατρίκιος τὴν ὁρμὴν τοῦ βασιλέως ἀνέκοψε, φάμενος μὴ χρῆναι πιστεύειν κατὰ

при които синът на императора Теофил[1] предвождал войската. Борбата била с променлив успех за противниците и на никоя страна не се усмихвала ясно победата. При това се случило нещо, което провалило работите на Тома. Когато навред се разнесла мълвата за бунта на Тома и за обсадата на столицата, вождът на българите Мортагон[2], който бил сключил тридесетгодишен договор с Лъв[3] и бил тогава приятелски настроен към ромеите, доброволно дошъл на помощ на императора и се разположил на стан при Акведукта. Това изплашило бунтовника. Той решил, че за него няма да бъде полезно едновременно и да прави обсада, и да воюва срещу българите — той мислел, че ако раздели войската си, няма да бъде достоен противник нито на единия, нито на другия. Затова тръгнал срещу българите с цялата си войска и като влязъл в бой с тях, бил победен и загубил много от войниците си, като едни били избити, а други пленени. Тези, които избягнали варварския меч и се спасили от пленничество, мирували в очакване на онова, което ще се случи. А българите, горди с победата си, потеглили назад, отвеждайки пленниците си и голяма плячка. Като узнали за това поражение, войниците на узурпатора, които били останали от флотата му, минали на страната на Михаил. При все че узурпаторът се намирал в такова положение и бил напълно изтощен, все пак не се отказал от обсадата. Но като не могъл да постигне нищо, той снел обсадата на града, отишъл по-нататък и като намерил удобно място разположил в него стана си и като тръгнал оттам, започнал да опустошава предградията на столицата и да унищожава техните красоти. Прочее Михаил излязъл срещу него и след като било завързано сражение, хората на Тома по своя воля се спуснали да бягат и едни от тях преминали на страната на императора, а други се завърнали всеки в страната си. А узурпаторът със съвсем малко хора отишъл в Адрианопол и Михаил, като го последвал по стъпките му, обсадил града не с обсадни машини, но като го лишил от храни. Измъчени от глада, жителите на града поискали от императора прошка за прегрешенията си и след като я получили, вързали Тома и го предали на Михаил. Той му отрязал ръцете и краката и като го качил на едно магаре, отпразнувал позорен триумф. След това го разпитал за неговите съучаст-

[1] Бъдещият император Теофил (829—842). [2] Хан Омуртаг (814—831). [3] Тридесетгодишният мирен договор между България и Византия бил сключен в края на 814 и началото на 815 г. Срв. *Златарски*, История, I, 1, стр. 299; *Ив. Дуйчев*, Одна из особенностей ранневизантийских мирных договоров, ВВр., XV (1959), стр. 64—65.

τῶν φίλων ἐχθροῖς. ὁ δέ γε Θωμᾶς ἄλλοτε ἄλλαις τιμωρίαις ὑποβαλλόμενος βιαιότατα κατέλυσε τὴν ζωήν. καὶ ὁ τούτου δὲ εἰσποιητὸς υἱὸς εἰς τὸ τῆς Βιζύης πολίχνιον προσφυγών, παρὰ τῶν οἰκούντων τὸ φρούριον δεθεὶς προσήχθη τῷ βασιλεῖ καὶ ὁμοίως τῷ πεπλασμένῳ πατρὶ κολασθεὶς βιαίως καὶ αὐτὸς ἀπέρρηξε τὴν ψυχήν. ἡ μὲν οὖν τοῦ Θωμᾶ ἐπανάστασις τοῦτον τὸν τρόπον κατηύναστο. αἱ δὲ Θρᾳκικαὶ πόλεις αἱ πάραλοι κἀκείνου παρελθόντος ἔτι τῆς στάσεως εἴχοντο, καὶ μᾶλλον τῶν ἄλλων τὸ Πάνιον καὶ ἡ Πείρινθος (οὕτω γὰρ πάλαι ὠνόμαστο ἡ Ἡράκλεια) μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. ἀλλὰ τὸ μὲν Πάνιον σεισμῷ τοῦ τείχους αὐτοῦ πεσόντος ἑάλω, ἡ δ' Ἡράκλεια διὰ τῆς θαλάσσης γέγονεν ἁλωτή. ταῦτα τοίνυν κατορθώσας ὁ Μιχαὴλ ἐπάνεισι τροπαιοφορῶν καὶ ἱππικοῦ τελουμένου ἀγῶνος τοὺς τῷ Θωμᾷ τὴν τυραννίδα συμπράξαντας ὄνοις ἐφεζομένους εἰσαγαγὼν εἰς τὸ θέατρον ὑπερορίαν αὐτῶν κατεδίκασε, μή τι πλέον κολάσας αὐτούς, εἰ μὴ δύο τινὰς τὸν Χοιρέαν καὶ τὸν Ζαγορηνόν, μὴ πειθομένους μηδὲ μετὰ τὴν κατάλυσιν τοῦ Θωμᾶ παραδοῦναι τὰ φρούρια, ἃ κατεῖχον, ἑλὼν καὶ ἀνασκολοπίσας ἀπέκτεινε.

ници и Тома щял да изкаже множина, но патрикий Ексавул пресякъл почина на императора, като му казал, че не трябва да вярва на враговете срещу приятелите си. И така, подхвърлян на най-различни мъчения, завършил живота си извънредно тежко. А неговият осиновен син избягал в градчето Виза, но бил отведен вързан при императора от жителите на крепостта и също като своя неистински баща, след като бил жестоко изтезаван, умрял. Прочее по такъв начин било усмирено въстанието на Тома. А крайбрежните тракийски градове и след неговата смърт още продължавали да се бунтуват, и преди всичко Панион[1] и Перинт (защото така се наричала в старо време Ираклия), от омраза към императора. Но Панион бил превзет, понеже градската му стена била съборена от земетръс, а Ираклия била превзета откъм морето. След тези успехи Михаил се завърнал победоносно и по време на конното състезание довел в театъра върху магарета съучастниците на Тома в узурпацията и ги осъдил на изгнание, без повече да ги измъчва. Само двама от тях, Хойрей и Загорин, които не му се подчинили и не му предали крепостните, които владеели след унищожаването на Тома, били заловени от императора, набити на кол и умъртвени.

Τῇ γοῦν ἀποστασίᾳ τῇ τοῦ Θωμᾶ αἰ τοῖς ἐμφυλίοις πολέμοις τῶν Ῥωμαϊκῶν ἀσχολουμένων δυνάμεων ἄδειαν εὑρηκότες πᾶσαν οἱ πρὸς ἑσπέραν Ἀγαρηνοί, οἳ τὸν τῆς Ἰβηρίας οἰκοῦσι κόλπον καὶ λέγονται Ἰσπανοί, τῷ σφετέρῳ προσίασιν ἀρχηγῷ, ὃν αὐτοὶ καλοῦσιν Ἀμερμουμνῆν, καὶ ᾐτοῦντο ἀποικίαν στείλασθαι, διὰ πλῆθος στενοχωρούμενοι (pp. 339_{13}—348_{3}).

Докато ромейските войски били заети с бунта на Тома и с гражданските войни, агаряните на запад, които обитавали Иверийския залив и се наричат испанци[2], като намерили пълна възможност, отишли при своя предводител, когото наричат амермумнин[3], и понеже били притеснени от липса на място поради множеството си, поискали от него да изпрати изселници.

28. Bulgari christiani fiunt

Ὁ δὲ τῶν Βουλγάρων ἄρχων γυναικὶ τὴν τῶν Ῥωμαίων βασιλείαν καὶ παιδὶ νεαρῷ κυβερνωμένην μαθὼν στέλλει τινὰς τῶν αὐτοῦ ἀπειλῶν ἀφίστασθαι τῶν σπονδῶν καὶ ἆραι ὅπλα κατὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς. πρὸς ταῦτα τοίνυν δηλοῖ αὐτῷ ἡ βασίλισσα ὡς „ἀντιτάξομαί σοι πάντως κἀγώ, καὶ εἰ μὲν θεοῦ διδόντος ὑπερέξω, ἔσῃ νικηθεὶς ὑπὸ γυναικός, καὶ ὅσον σοι τὸ τῆς αἰσχύνης ὑπόγυον λόγισαι· εἰ δὲ νικήσεις ἴσως αὐτός, οὐκ ἔσται σοι σεμνὸν τὸ εὐτύχημα γυναῖκα νικήσαντι.“ ὡς οὖν

28. Покръстване на българите

А князът на българите,[4] щом узнал, че ромейското царство се управлява от жена и от невръстно дете[5], изпратил някои от своите хора, заплашвайки, че ще се откаже от мира и ще вдигне оръжие срещу ромейската държава. На това императрицата му отвърнала: „И аз на всяка цена ще ти се противопоставя и ако с божия помощ спечеля победа, ти ще бъдеш победен от жена и помисли колко голям позор ще бъде това за тебе. Ако пък случайно ти сам победиш, не ще бъде голям успех това, че си победил една жена.“ Щом това било известено на

[1] Панион—крепост в Тракия, близо до Родосто, дн. Панизо. [2] Става дума за арабите в Испания. [3] Амермумнин — от арабската дума емир-ал-мумении, титла на халифите със значение „княз на правоверните“. [4] Борис I (852—889). [5] Става дума за византийската императрица Теодора, която управлявала заедно с малолетния Михаил III (842—867) до 856 г., когато била отстранена от управлението на империята.

ταῦτα τῷ βαρβάρῳ ἠγγέλθησαν, ἀνέστειλαν αὐτῷ τὴν ὁρμήν, καί οἱ συμφέρον ἔκρινεν ἀνανεώσασθαι τὰς σπονδάς· καὶ αὗται ἀνεκαινίσθησαν. ἀδελφὴ δὲ τοῦ ἄρχοντος Βουλγαρίας αἰχμαλωτισθεῖσά ποτε καὶ ἐν τοῖς βασιλείοις διάγουσα τῷ θείῳ τε ἐτελέσθη βαπτίσματι καὶ γραμμάτων ἐν μυήσει ἐγένετο. ταύτην ὁ ἀδελφὸς ἀναδοθῆναί οἱ ἠξίωσε· καὶ ἡ μὲν ἐδόθη αὐτῷ, ὁ δ' ἀντέδωκεν ἄνδρα τῶν λογίμων Θεόδωρον τὸν Κουφαρᾶν. ἡ δὲ τοῦ τῶν Βουλγάρων ἄρχοντος ἀδελφὴ ἀφικομένη πρὸς τὸν ὁμαίμονα ἐνῆγεν αὐτὸν εἰς τὴν τῶν χριστιανῶν θρησκείαν διὰ παντὸς αὐτῷ περὶ αὐτῆς διαλεγομένη καὶ τὰ χριστιανῶν μυστήρια ἐκθειάζουσα. ὁ δὲ ταῦτα καὶ παρὰ τοῦ Κουφαρᾶ προκατήχητο, ἀλλ' οὔπω ἐπέπειστο τῶν πατρίων ἀποστῆναι ἐθῶν. λιμὸς δὲ τοῖς Βουλγάροις συμβὰς καὶ αὐτὸν καὶ τὸ ἔθνος εἰς θεοσέβειαν μετερρύθμισεν. ὁ μὲν γὰρ τὸ ἔθνος ἅπαν ἐπίεζε, καὶ οὐκ ἦν ἀποφυγὴ τοῦ κακοῦ, φθορὰ δὲ τοῦ ἔθνους ἐγίνετο, καὶ ὁ σφῶν ἀρχηγὸς ἦν διὰ τοῦτο περιαλγής, καὶ ἀπορήσας εἰς τὸν παρὰ τῆς ἀδελφῆς αὐτῷ καταγγελλόμενον καταφεύγει θεὸν καὶ τοῦτον τοῦ λιμοῦ λυτῆρα καὶ τῆς τοῦ ἔθνους φθορᾶς ἐπεκέκλητο. ὡς δ' ἐνεργὴς ἦν ἡ ἐπίκλησις καὶ τῶν κακῶν ἀπηλλάγησαν, ἔγνω τοῦ ἐπικληθέντος τὴν δύναμιν καὶ ἀξιοῖ σταλῆναι αὐτῷ τινα τὸν τὸ μυστήριον αὐτὸν μυήσοντα τῶν χριστιανῶν καὶ τελέσοντα τῷ θείῳ βαπτίσματι. καὶ ἀπεστάλη μὲν ἀρχιερεὺς πρὸς αὐτόν· ὁ δὲ καὶ ἐμυήθη καὶ ἐβαπτίσθη. οἱ Βούλγαροι δὲ ὡς τῆς πατρίου δόξης ἀποστάντος κατεξανίστανται τοῦ σφῶν ἀρχηγοῦ καὶ ἐζήτουν αὐτὸν ἀνελεῖν. ὁ δὲ τῷ τοῦ σταυροῦ σημείῳ θαρρήσας προπορευομένῳ αὐτοῦ νικᾷ τοὺς ἀντιστάτας αὐτῷ, καί οὕτω πάντες εἵλοντο τὰ τῶν χριστιανῶν. εἶτα διεπρεσβεύσατο ὁ τούτων ἐξάρχων πρὸς τὴν βασίλισσαν, αἰτῶν γῆς αὐτῷ παραχωρηθῆναι Ῥωμαϊκῆς, στενοχωρεῖσθαι γὰρ τὸ ἔθνος αὐτοῦ, καὶ ἀϊδίους σπονδὰς πρὸς Ῥωμαίους καὶ ὁμαιχμίαν ἐπαγγελλόμενος. καὶ ἡ βασιλὶς τὴν αἴτησιν ἐξεπλήρωσε καὶ οἱ τῆς ἀπὸ τῆς λεγομένης Σιδηρᾶς παρεχώρησε χώρας, ἣ τὰ Ῥωμαίων καὶ Βουλγάρων διώριζε πρίν, μέχρι τῆς Δεβελτοῦ· ἣν λαχόντες οἱ Βούλγαροι κεκλήκασι Ζαγορᾶν. κἀντεῦθεν εἰρήνην γέγονε περὶ τὰ ἑσπέρια (pp. 387_3—389_{10}).

варварина, устремът му престанал и той намерил за благоразумно да възстанови мирния договор. И договорът бил подновен.[1] А сестрата на българския княз, която някога била пленена и пребивавала в двореца, била удостоена с божествено кръщение и се научила на четмо и писмо. Брат ѝ поискал да му бъде върната. И тя била върната, а той дал вместо нея Теодор Куфара, знатен мъж. И когато сестрата на българския княз отишла при брат си, тя го посветила в християнската вяра, като постоянно разговаряла с него за християнската вяра и извършвала християнските тайнства. Той бил чул по-рано и от Куфара за това, но още не бил се решил да се откаже от бащините обичаи. Но настаналият сред българите глад обърнало и него, и народа му към благочестие. Гладът измъчвал целия народ и нямало спасение от злото; народът загивал и князът им, опечален от това и ненамиращ изход, потърсил закрила от бога, за когото му известила неговата сестра, и го призовал да ги избави от глада и от погиването на народа. Понеже молбата му била изпълнена и се избавили от бедата, той узнал силата на оногова, когото призовал, и помолил да му бъде изпратен някой, който да го посвети в християнската вяра и да го удостои със светото кръщение. И бил изпратен при него един архиерей и той бил посветен и покръстен.[2] Но българите въстанали срещу своя княз, понеже били отвърнати от бащината вяра, и се опитали да го убият. А той, уповавайки се на кръстния знак, който проправял пътя му, победил въстаналите срещу него и така всички приели християнството. След това князът на българите изпратил пратеници при императрицата, искайки да му бъде отстъпена ромейска земя, тъй като народът му бил стеснен, като обещавал [да сключи] вечен мир и съюз с ромеите. Императрицата изпълнила молбата му и му отстъпила областта от така наречената Сидера, която по-рано разделяла земите на ромеите и на българите, чак до Девелт. Българите, след като я получили, я нарекли Загора.[3] И след това настъпил мир в западните области.

---

[1] Има се пред вид подновяването на тридесетгодишния мирен договор, чийто срок изтекъл в 845 г. Срв. *Златарски,* История, I, 1, стр. 349.

[2] Покръстването станало през септември 865 г. За събитията срв. *Златарски,* История, I, 2, стр. 30. Срв. ГИБИ, т. IV, стр. 335 и посочената там литература.

[3] *Златарски,* История, I, 2, стр. 3, отъждествява Сидера с днешния връх Демиркапу в Странджа, на север от Лозенград, при с. Ковчаз. Според него отстъпената от Византия в 865 г. област Загора се простирала от връх Демиркапу до град Девелт. Според *Г. Цанкова-Петкова,* О территории Болгарского государства в VII—IX вв., ВВр., XVII, 1960, стр. 137—139, областта Загора се простирала между Чалъкавашкия проход — Девелт — и южните склонове на Източна Стара планина. За областта Загора срв. и *В. Бешевлиев,* К вопросу о Загоре, стр. 11—13.

29. *Omurtagus foedus cum Romanis jungit*

Ἥκει δ᾽ ὁ λόγος τὴν τοῦ Βάρδα διηγησόμενος ἀποβίωσιν καὶ τὴν τοῦ κρατοῦντος αὐτοῦ καὶ πρὸ τούτων τὴν τοῦ Βασιλείου τοῦ Μακεδόνος οἰκείωσιν πρὸς τὸν Μιχαήλ· ὃς ἐκ Μακεδονίας μὲν ἦν, ἔφυ δὲ πατέρων ἀσήμων καὶ ἀφανῶν, εἰ καί τις τῶν τὰ περὶ αὐτοῦ ἐξιστορησάντων ἐκ τοῦ τῶν Ἀρσακιδῶν αὐτὸν γένους κατάγεσθαι τερατεύεται. τοῦ Κρούμου δέ (τῶν Βουλγάρων δ᾽ ἦν οὗτος ἀρχηγός) τὴν Ἀδριανούπολιν κατασχόντος, καὶ οἱ τούτου γεννήτορες αἰχμάλωτοι γενονότες εἰς τὴν ἐκείνων χώραν μετήχθησαν, ἀρτιγενὲς τοῦτον καὶ ὑπομάζιον φέροντες. τοῦ Κρούμου δὲ ἀποβεβιωκότος ἤδη ἕτερος τῆς ἀρχῆς τῶν Βουλγάρων ἐπείληπτο, ὃς πολλάκις ἐν πολέμοις τοῖς πρὸς Ῥωμαίους θραυσθεὶς σπονδὰς πρὸς τὸν τότε κρατοῦντα Ῥωμαίων πεποίητο, καὶ τοὺς αἰχμαλώτους ἐλευθερῶσαι συνέθετο, καὶ μέντοι καὶ κατὰ τὰς συνθήκας πεποίηκει (pp. 407_{13}—408_{10}).

29. *Омуртаг сключва мирен договор с Византия*

Разказът ми се насочва към смъртта на Варда[1] и на самия император[2], а преди това ще се спомене сближаването на Василий Македонец[3] с Михаил. Той произхождал от Македония, от прости и неизвестни родители, при все че някои от ония, които са писали неговата история, разказват, че произхождал от рода на Арсакидите[4]. Когато Крум (предводителят на българите) завзел Одрин, родителите на Василий били отведени като пленници в страната му, като носели със себе си току-що роденото си и още бозаещо дете. След смъртта на Крум вече друг[5] взел властта над българите, който бил често разбиван във войните срещу ромеите и сключил съюз с тогавашния владетел на ромеите[6], като обещал да освободи пленниците[7] и действително изпълнил обещанието.

30. *De bello inter Bulgaros Romanosque a. 894—896 gesto*

Τῶν δὲ Βουλγάρων ἐνσπόνδων ὄντων καὶ ἐμπορίας ποιουμένων μετὰ Ῥωμαίων, οἱ τοῖς τελωνήμασιν ἐφεστῶτες ἄδικα αὐτοὺς εἰσέπραττον τέλη· τοῦτο τῷ αὐτῶν ἄρχοντι Συμεὼν λαβὰς ζητοῦντι τοῦ κατὰ Ῥωμαίων πόλεμον ἄρασθαι εἰς πρόφασιν ἤρκεσε. καὶ μέντοι καὶ ἤρατο· καὶ Ῥωμαϊκὸν αὐτῷ ἀνθοπλισάμενον στράτευμα ἥττητο, καὶ πολλοὶ μὲν ἔπεσον τῶν Ῥωμαίων καὶ ὁ στρατηλάτης αὐτός· πολλοὶ δ᾽ ἑάλωσαν, ὧν τὰς ῥῖνας ὁ Συμεὼν ἐκτεμὼν ἐπανελθεῖν ἀφῆκε πρὸς τὸ Βυζάντιον. τούτοις περιαλγήσας ὁ βασιλεὺς δώροις τοὺς Τούρκους ἔπεισε τοὺς περὶ τὸν Ἴστρον, οἳ καὶ Οὖγγροι καλοῦνται, τοῖς Βουλγάροις ἐπεξελθεῖν καὶ ὅση δύναμις κακῶσαι αὐτούς. καὶ αὐτὸς δὲ ὁ βασιλεὺς διά τε θαλάσσης καὶ διὰ γῆς ἡτοίμαστο ὅπλα κινῆσαι κατὰ τῶν Βουλγάρων, τῷ πατρικίῳ Νικηφόρῳ τῷ Φωκᾷ τὸν κατ᾽ αὐτῶν ἀναθέμενος πόλεμον, δομέστικον τῶν

30. *Война между българи и византийци през 894—896 г.*

Докато българите били в съюз с ромеите и имали търговски връзки с тях, митническите началници започнали да събират от тях несправедливи данъци.[8] Това било достатъчен повод за българския владетел Симеон, който търсел да се залови за нещо, за да почне война срещу ромеите.[9] И действително той започнал. И ромейската войска, която му се противопоставила, била победена и мнозина от ромеите паднали, а също и самият военачалник[10]. Мнозина били взети в плен — на тях Симеон отрязал носовете и ги пуснал да си идат в Цариград.[11] Огорчен от това, императорът[12] склонил с подаръци турките[13], които живеят около Истър и се наричат още угри, да нападнат българите и с всички сили да им навредят. А също и самият император се готвел да вдигне оръжие срещу българите по суша и по море, като възложил на патрикий Никифор Фока да води войната срещу тях и го назначил за доме-

[1] Става дума за кесар Варда, който бил вуйчо на Михаил III и имал голямо влияние в управлението от 856 до 866 г. [2] Михаил III (842—867). [3] Василий I Македонец (867—886). [4] Тук се забелязва тенденцията да се подчертае царският произход — от арменската династия Аршакиди — на Василий I Македонец. В действителност Василий бил роден в едно село в областта на Одрин, която през това време се наричала Македония. Мнението за арменския произход на Василий I е спорно. Срв. *Острогорски*, Историја, стр. 229. [5] Хан Омуртаг (814—831). [6] Теофил. [7] Тук авторът се връща към по-стари събития във връзка с изясняване биографията на Василий I Македонец. Освобождаването на пленниците, които били отвлечени от Крум при обсадата на Одрин в 813 г. и впоследствие заселени отвъд Дунава, станало през 837 г. Сред тези пленници бил и самият Василий. Срв. *Златарски*, История, I, 1, стр. 277—278. [8] Подразбират се покровителствуваните от Стилиан Зауца, тъста на Лъв VI, Мусик, Ставракий и Козма, които в 894 г. преместили българското тържище от Цариград в Солун и с това засегнали интересите на българската търговия. Срв. *Златарски*, История, I, 2, стр. 283—288; История на България, I, стр. 110—111. [9] Войната започнала през есента на 894 г. [10] Византийският военачалник Кринит. [11] Става дума за пленените хазари, които били на служба в императорската гвардия. [12] Лъв VI (886—912). [13] Т. е. маджарите, които станували на север от Дунава,

σχολῶν αὐτὸν προβαλόμενος. πρὸ τοῦ πολέμου δὲ τὸν κοιαίστωρα στέλλει ὁ αὐτοκράτωρ πρὸς Συμεὼν περὶ εἰρήνης πρεσβεύσοντα. ὁ δὲ βάρβαρος δόλῳ τοῦτον ὑποτοπήσας ἐλθεῖν καθείργνυσι καὶ δεσμεῖ καὶ τῷ Φωκᾷ ἀντεμάχετο. ἐκείνου δὲ περὶ τοῦτον ἀσχολουμένου οἱ Οὖγγροι τὴν χώραν αὐτοῦ ἐληίσαντο. διὸ τὸν Φωκᾶν λιπὼν κατ᾽ἐκείνων ἐξώρμησε καὶ συμβαλὼν αὐτοῖς ἥττητο, πολλῶν μὲν σφαγέντων Βουλγάρων, πλειόνων δ᾽ἁλόντων, αὐτοῦ δὲ τοῦ Συμεὼν μόλις ἐν Δοροστόλῳ φυγόντος· τοῦτο δ᾽ἡ Δρίστρα ἐστί. τοὺς δ᾽αἰχμαλώτους Βουλγάρους ὁ βασιλεὺς παρὰ τῶν Οὔγγρων ἐπρίατο καὶ ὁ Συμεὼν περὶ εἰρήνης ἱκέτευε. καὶ πιστεύσας τοῖς λόγοις ἐκείνου ὁ βασιλεὺς τὸν Χοιροσφάκτην ἀπέστειλε σπονδὰς ποιησόμενον, ὃν ὁ βάρβαρος κατέσχε τε καὶ ἐδέσμησεν. αὐτὸς δὲ τοῖς Τούρκοις ἐπῆλθε καὶ ἐτρέψατό τε αὐτοὺς καὶ τὴ χώρα σφῶν ἐλυμήνατο. εἶτα ἐπέστειλε τῷ Λέοντι μὴ ἄν ποτε σπείσασθαι, εἰ μὴ τοὺς αἰχμαλώτους Βουλγάρους λήψοιτο πρότερον· καὶ τούτους λαβὼν οὐκ ἐσπείσατο. ὁ γοῦν βασιλεὺς τοῖς τε τάγμασι τοῖς ἑῴοις καὶ τοῖς ἑσπερίοις ὁμοῦ συνελθοῦσι κατὰ τῶν Βουλγάρων ἐχρήσατο, ἀλλ᾽ἡττήθησαν ἅπαντα τῷ Συμεὼν προσβαλόντα. καὶ τὰ μὲν τῶν Βουλγάρων τοῦτον εἶχε τὸν τρόπον (pp. 442_{15}—444_{10}).

стик на схолите[1]. Преди избухването на войната императорът изпратил при Симеон[2] квестора[3], за да преговаря за мир. Но варваринът имал подозрение, че той е дошъл с измама, хвърлил го окован в тъмница и се отправил на бой срещу Фока. Докато бил зает с него, угрите плячкосали страната му. Затова той оставил Фока, насочил се срещу тях, влязъл в сражение и бил победен, като при това били убити много българи, още повече били взети в плен, а самият Симеон едва избягал в Доростол, т. е. Дристра[4]. Императорът откупил от угрите пленените българи и Симеон започнал да моли за мир. Като повярвал на думите му, императорът изпратил Хиросфакт[5], за да води преговори, но варваринът го задържал окован във вериги[6]. А самият той отишъл на поход срещу турките, разбил ги и опустошил страната им.[7] След това пратил известие на Лъв, че няма да преговаря с него, ако преди това не получи пленените българи. Но след като ги взел, той пак не сключил мир. Тогава императорът изпратил срещу българите събраните заедно източни и западни войски, но всичките, след като се сблъскали със Симеон, били победени.[8] Така прочее стояли българските работи.

31. Alexander legatos Bulgarorum contemnit et comminatur

Τοῦ μέντοι τῶν Βουλγάρων ἀρχηγετοῦντος τοῦ Συμεὼν εἰ τὴν εἰρήνην ἀσπάζοιτο ἐρωτῶντος διά τινων ὑπ᾽αὐτοῦ πεμφθέντων, ὁ Ἀλέξανδρος ἀτίμως τε τοὺς πεμφθέντας ἐδέξατο καὶ ὑπερηφάνως ὡμίλησε καὶ ὑπερόγκως ἠπείλησεν. ὅθεν ὁ Συμεὼν τὴν ὕβριν μὴ ἐνεγκὼν κατὰ Ῥωμαίων ὡπλίσατο (p. 457_{7-11}).

31. Император Александър обижда и заплашва българските пратеници

Когато царят на българите Симеон запитал чрез някои изпратени от него хора дали желае мир, Александър[9] посрещнал по обиден начин пратениците, заговорил с тях пренебрежително и високомерно ги заплашил Затова Симеон, като не понесъл обидата, за почнал да се въоръжава срещу ромеите.[10]

32. Symeon contra Constantinopolim exercitum ducit

Ὁ δὲ Βούλγαρος Συμεών, ὡς βασιλέως ἐπιστατοῦντος τοῖς πράγμασι, ῥᾳδίως ἐλπίσας κρατῆσαι τῆς βασιλίδος τῶν πόλεων ἔπεισι κατὰ ταύτης μετὰ

32. Поход на Симеон срещу Цариград

А българинът Симеон мислел, че лесно ще завладее царицата на градовете, понеже държавата не се управлявала от император,[11]

[1] Доместик на схолите — началник на част от императорската гвардия. Срв. *Bréhier*, Les institutions, pp. 39, 46, 155. [2] Българският цар Симеон (893—927). [3] Квестор — висш сановник, който се занимавал с уреждането на завещания и наследства, а също така имал и полицейски функции. *Bréhier*, Les institutions, p. 227. [4] Дн. Силистра. [5] Лъв Хиросфакт (Магистър, ок. 845—919), известен политически деятел, изпратен от Лъв VI да преговаря със Симеон. Запазена е неговата кореспонденция със Симеон. За него по-подробно срв. ГИБИ, IV, стр. 175—184 и посочената там литература. [6] Симеон заповядал да затворят Лъв Хиросфакт в крепостта Мундрага, вероятно Мадара. Срв. *Златарски*, История, I, 2, стр. 304—313. [7] Симеон в съюз с печенегите опустошил земята на маджарите и ги принудил да се преселят в областта на Средния Дунав и Тиса. Срв. *Златарски*, История, I, 2, стр. 313. [8] Българите нанесли голямо поражение на византийските войски през лятото на 896 г. при Българофигон. Срв. *Златарски*, История, I, 2, стр. 317—318. [9] При византийския император Александър (912—913) Симеон изпратил пратеници в Цариград, за да бъде потвърден мирният договор от 896 г. Срв. *Златарски*, История, I, 2, стр. 358. [10] Според някои учени войната започнала през лятото на 913 г. Срв. *Златарски*, История, I, 2, стр. 358; *Острогорски*, Историја, стр. 253. Други приемат, че тя започнала още в края на 912 г. Срв. *А. П. Каждан*, К вопросу о начале второй болгаро-византийской войны при Симеоне, Славянский архив, М., 1959, I, стр. 23—28. [11] Константин VII Багренородни 913—959) бил малолетен и държавата се управлявала от регентство.

πλείστης δυνάμεως καὶ ἔξω στρατοπεδεύεται τῶν ταύτης τειχῶν καὶ πολιορκῆσαι ταύτην διενενόητο. ἰδὼν δὲ τὸ τῶν τειχῶν κρατερὸν καὶ τὸ πλῆθος τὸ ἐπ' αὐτῶν καὶ τῶν ἐν τοῖς τείχεσι μηχανημάτων τὸ δαψιλές, ἰλιγγιάσας μετέπεσεν εἰς τὸ Ἕβδομον, ζητῶν σπείσασθαι. ὁ γοῦν πατριάρχης καὶ οἱ λοιποὶ τῶν ἐπιτρόπων λαβόντες τὸν βασιλέα εἰς τὰ ἐν Βλαχέρναις ἦλθον βασίλεια, ὅπου καὶ ὁ Συμεὼν παρεγένετο, ὁμήρους δοὺς καὶ λαβών, καὶ τῷ πατριάρχῃ κλίνας τὴν κεφαλὴν ηὐλογήθη παρ' ἐκείνου καὶ συνειστιάθη τῷ βασιλεῖ. εἶτα μὴ ἀρεσθεὶς ταῖς συνθήκαις ἐπανῆλθεν ἀσύμβατος, δώροις δεξιωθεὶς καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ (pp. 461_{14}—462_{8}).

потеглил срещу столицата с голяма войска, разположил се вън от стените и се готвел да я обсади.[1] Но като видял здравината на стените и множеството върху тях и многото съоръжения по градските стени, останал смаян и като се отправил към Евдомон[2], поискал да сключи мир. Тогава патриархът и останалите настойници заедно с императора отишли във Влахернския дворец, където бил и Симеон. След като дал и получил заложници, той преклонил главата си пред патриарха, бил благословен от него и обядвал заедно с императора. Но понеже условията на договора не му се харесали, той си отишъл, без да сключи мир,[3] удостоен с дарове и самият той, и синовете му.

33. De cladibus ab exercitu Romano apud Anchialum perpessis

Ὁ μέντοι Βούλγαρος Συμεὼν τὴν Θρᾴκην κατέτρεχέ τε καὶ ἐληΐζετο καὶ ἐν τῇ Ἀδριανουπόλει βάλλεται χάρακα, πολιορκίᾳ ταύτην ἐλπίζων ἑλεῖν. ὡς δ' ἑώρα ἑαυτῷ κενόσπουδον τὸ ἐγχείρημα, ἑτέρως τὴν ἅλωσιν τῆς πόλεως μέτεισι. χρήμασι γάρ τινας τῶν φυλάκων αὐτῆς ὑποφθείρας ἐκ προδοσίας αὐτὴν ἐξεπόρθησεν. ἀλλὰ ταύτην μετέπειτα πάλιν ὑπὸ Ῥωμαίους ἡ τῆς βασιλίσσης σπουδὴ ἐποιήσατο. μὴ φέρουσα δὲ τὰς κατὰ τῆς Θρᾳκῴας χώρας πυκνὰς ἐπελεύσεις τοῦ Συμεὼν σπένδεται τοῖς ἐξ Ἰσμαὴλ καὶ τά τε ἑῷα τάγματα καὶ τὰ ἑσπέρια συναθροίσασα τῷ μαγίστρῳ Λέοντι τῷ Φωκᾷ τῶν σχολῶν δομεστίκῳ τυγχάνοντι τὸν κατὰ τοῦ Συμεὼν ἀνέθετο πόλεμον. ὃς καὶ μάχην συνάψας ἡττᾷ τοὺς Βουλγάρους περιφανῶς καὶ φόνον αὐτῶν ποιεῖται πολύν. κατάκοπος δὲ γεγονὼς καὶ ἱδρῶτι διάβροχος κἀντεῦθεν λειποθυμῶν, ἐπί τινι πηγῇ τοῦ ἵππου ἀποβὰς ἀνέψυχεν ἑαυτόν. ἐν τούτῳ δὲ ὁ ἵππος αὐτοῦ τὰς τοῦ κατέχοντος αὐτὸν χεῖρας διαφυγὼν ἐν τῷ τοῦ στρατοπέδου πεδίῳ ἐκρόαινεν ἀναβάτου χωρίς. ἐπίσημος δὲ τυγχάνων εἰς δειλίαν ἐνέβαλε τὰ στρατεύματα οἰηθέντα πεσεῖν τὸν δομέστικον, καὶ τοῦ μὲν πολέμου ἀπέσχοντο καὶ τῆς διώξεως

33. Поражение на византийската войска при Анхиало

И тъй българинът Симеон кръстосвал и опустошавал Тракия и се разположил на лагер при Одрин, като се надявал да го превземе с обсада. Но щом видял, че неговият опит остава напразен, по друг начин пристъпил към превземането на града. Той подкупил с пари някои от стражите и след като било извършено предателство, опустошил града.[4] Но чрез усърдието на императрицата[5] градът отново паднал под ромейска власт. Като не могла да понесе честите нахлувания на Симеон срещу тракийските области, тя сключила съюз с измаелитите[6], събрала източните и западните войски и поверила воденето на войната срещу Симеон на магистър Лъв Фока[7], който тогава бил доместик на схолите. След като влязъл в бой, той удържал блестяща победа над българите и извършил голяма сеч над тях. Уморен и потъвал в пот, той бил близо до безсъзнание и слязъл от коня, за да си почине при един извор. При това конят избягал от ръцете на човека, който го пазел, и се впуснал в галоп към бойното поле без ездач. Понеже го познавали, войските се изплашили, като помислили, че доместикът е паднал. Те започнали да се въздържат от сражение, прекратили преследването и били обзети от

[1] Българските войски стигнали до стените на Цариград през август 913 г. [2] Евдомон — предградие на Цариград, намиращо се на седмия милиарен знак, откъдето идва и името му. Срв. *Janin*, op. cit., pp. 408—409. [3] Преговорите за мир били затруднени поради искането на Симеон да бъде признат за цар (*βασιλεύς*), обаче при приема, устроен във Влахернския дворец, патриарх Николай Мистик не сложил на главата на Симеон корона, а само своя епириптарий (вид наметка, носена от духовниците). Срв. *Златарски*, История, I, 2, стр. 370; ГИБИ, V, стр. 126 и посочената там литература. [4] Одрин бил превзет от българите през септември 914 г., но още същата година в резултат на преговорите, водени между Симеон и византийското правителство, градът бил върнат на Византия. Срв. *Златарски*, История, I, 2, стр. 378—379. [5] Т. е. регентката императрица Зоя, майка на Константин VII Багренородни. [6] Т. е. арабите. [7] Лъв Фока бил син на споменатия по-горе византийски пълководец Никифор Фока. Титлата магистър се давала на висши сановници. Срв. *Bréhier*, Les institutions, p. 123.

ἔστησαν, θόρυβος δ᾽ἔσχεν αὐτούς. ὁ δέ γε Συμεὼν ἐκ περιωπῆς τινος ὁρῶν τὸ συμβεβηκὸς, περὶ τὰ στρατεύματα τοῖς περὶ αὐτὸν ἐγκελεύεται καὶ κατὰ Ῥωμαίων ἐξώρμησε καὶ τεθορυβημένοις αὐτοῖς ἐμβαλὼν εἰς φυγὴν ἅπαντας ἀθρόον ἐτρέψατο· καὶ τοὺς μὲν οἱ Βούλγαροι διώκοντες ἔκτεινον, οἱ δ᾽ὑπ᾽ ἀλλήλων ἀπώλλυντο συμπατούμενοι. ὁ δὲ τῶν σχολῶν δομέστικος μόλις εἰς Μεσημβρίαν διαδρᾶναι δεδύνητο· πολλοὶ δὲ καὶ τῶν στρατηγῶν καὶ ταγματάρχαι τότε ἐφθάρησαν.

смущение. Когато Симеон забелязал това, което се случило с войската, от една височина, като насърчил своите хора, впуснал се срещу ромеите, нападнал ги, докато били объркани, и внезапно обърнал всички в бягство. Едни от тях българите избили при преследването, а други починали, като се тъпчели едни други. А доместикът на схолите едва успял да избяга в Месемврия. Тогава загинали и много военачалници и началници на отреди.[1]

Ἰωάννης δὲ ὁ Βογᾶς ἐστάλη Πατζινάκοις εἰς συμμαχίαν ἀγαγεῖν κατὰ τῶν Βουλγάρων, καὶ ὁ πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνός, δρουγγάριος ὢν τῶν πλωίμων, ὡρίσθη μετὰ τοῦ στόλου παραπλεῖν, ἅμα μὲν εἰς συνεργίαν τοῦ τῶν σχολῶν δομεστίκου, ἅμα δὲ καί, εἰ ἀχθεῖεν σύμμαχοι παρὰ τοῦ Βογᾶ, διαπεραιώσασθαι σφᾶς. ἧκεν οὖν ὁ Βογᾶς μετὰ τῶν συμμάχων. στάσεως δ᾽ἐμπεσούσης αὐτῷ τε καὶ τῷ Λακαπηνῷ, ὁρῶντες οἱ Πατζινάκοι αὐτοὺς πρὸς ἀλλήλους διαπληκτιζομένους καὶ ἀμελῶς περὶ τὴν αὐτῶν διακειμένους διάβασιν εἰς τὰ ἑαυτῶν ἐπανῆλθοσαν. οἱ μὲν οὖν οὕτω ταῦτά φασι καὶ τὴν ἧτταν τῶν Ῥωμαίων ἐντεῦθεν συμβῆναι, μὴ τυχόντων τῆς συμμαχίας, οἱ δὲ ἀλλοίως τὸ πρᾶγμα ἱστόρησαν· ἡττήσαντος γάρ φασι τοῦ Φωκᾶ τοὺς βαρβάρους καὶ διώκοντος, φήμην γενέσθαι ὡς ὁ δρουγγάριος τῶν πλωίμων ἄπεισι σὺν τῷ στόλῳ, τὴν βασιλείαν παραληψόμενος· τοῦτο δὲ τῷ δομεστίκῳ πεσὸν εἰς ὦτα ἐκταράξαι αὐτόν, ὡς ἀποσχέσθαι μὲν τῆς διώξεως, ἐπανελθεῖν δ᾽ εἰς τὸν χάρακα, τὰ τῆς φήμης ἀκριβωσόμενον, κἀντεῦθεν παλίντροπον γενέσθαι τον πόλεμον· φυγεῖν μὲν γὰρ τοὺς Ῥωμαίους, ἀπόδρασιν τῆς μάχης οἰηθέντας τὴν εἰς τὸν χάρακα τοῦ δομεστίκου ἀπέλευσιν, τοὺς δὲ Βουλγάρους ἐκ τῆς φυγῆς ἐπαναστραφέντας διώκειν αὐτούς. τὴν δὲ πρὸς τὸν χάρακα τοῦ δομεστίκου ὑποστροφὴν τῆς βασιλείας ἐπιθυμία πεποίηκεν. ἐρῶν γὰρ αὐτῆς ἔσπευδεν, εἰ ἀληθὲς ἦν τὸ τὸν δρουγγάριον ἀπιέναι, προκαταλαβεῖν αὐτὸς καὶ οἰκειώσασθαι τὴν ἀρχήν. μετὰ δὲ τὴν ἧτταν ἐπανελθόντων τοῦ τε Λακαπηνοῦ καὶ τοῦ Βογᾶ, ἐζητήθη τὰ μέσον αὐτῶν, καὶ κατεκρίθη ὁ Ῥωμανὸς πηρωθῆναι τὰ ὄμματα, ὡς αἴτιος τῆς ἥττης ἢ κακούργως ἢ ῥαθύμως γενόμενος, ἀλλ᾽ἐκεῖνον μὲν τῆς ψήφου ταύτης ἐξήρπασάν τινες μέγα παρὰ τῇ βασιλίσσῃ δυνάμενοι.

Бил изпратен Йоан Вогас да доведе печенегите за съюзници срещу българите и патрикий Роман Лакапин[2], друнгарий на флотата, бил определен да отплува с корабите, та същевременно и да помогне иа доместика на схолите,[3] и ако бъдат доведени от Вогас съюзниците, да ги прекара. И тъй Вогас пристигнал със съюзниците. Но понеже избухнала свада между него и Лакапин, печенегите, като видели, че те се карат помежду си и не се грижат за тяхното преминаване, се завърнали в земите си. И тъй едни разказват това и по такъв начин обясняват поражението на ромеите — понеже не получили военна помощ, — а други иначе предават събитието; те казват прочее, че когато Фока надвил варварите и ги преследвал, пуснал се слух, че друнгарият на флотата заминава с войската, за да завземе престола. Когато това стигнало до ушите на доместика, той се разтревожил, спрял преследването и се върнал в стана, за да провери тоя слух, и оттук настанал обрат във войната. Защото ромеите побягнали, като сметнали отиването на доместика в лагера за бягство от сражението, а българите, като прекратили бягството, започнали да ги преследват. Прочее връщането на доместика в лагера било предизвикано от силното желание за царска власт. Обхванат от стремеж към властта, той бързал, та ако заминаването на друнгария било действително, да го превари и да си присвои властта. Когато Лакапин и Вогас се върнали след поражението, това, което станало между тях, било подложено на съд и Роман бил осъден да му бъдат извадени очите като виновник за поражението било поради зла воля, било поради небрежност. Обаче някои, които били много влиятелни пред императрицата, го отървали от тая присъда.

Ὁ δὲ Βούλγαρος Συμεὼν τῇ νίκῃ ἐξογκωθεὶς ἐπῄει κατὰ τῆς βασιλευούσης τῶν πόλεων. ἀντικα-

А българинът Симеон, възгордян от победата, настъпил срещу Цариград. Противо-

[1] Сражението станало на 20 август 917 г. Срв. *Златарски*, История, I, 1, стр. 380—381. [2] Бъдещият император Роман Лакапин (920—944), който по това време бил началник (друнгарий) на флотата. [3] На Лъв Фока.

τέστη δὲ αὐτῷ πάλιν ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς· καὶ μάχης συγκροτηθείσης ἐν Κατασύρταις οἱ βάρβαροι ἡττῶντο (pp. 463_3—466_4).

поставил му се пак доместикът на схолите Фока. И след като било завързано сражение в Катасирти[1], варварите били победени.

34. Romanus Lacapenus Christophorum diademate ornat

Καὶ ὁ μὲν Λακαπηνὸς Ῥωμανὸς οὕτω τῆς ἀναρρήσεως ἔτυχεν, οὐκ ἠγάπα δὲ ταύτης τυχὼν αὐτός, ἀλλὰ μετὰ βραχὺ καὶ τὴν οἰκείαν ὁμευνέτιν τὴν Θεοδώραν ταινιοῖ, εἶτα καὶ τὸν υἱὸν Χριστοφόρον, προαιρέσει μὲν τῷ δοκεῖν τοῦ Κωνσταντίνου, τῇ δ᾽ἀληθείᾳ βιαζομένου ἀσχάλλοντός τε πρὸς οὓς ἐθάρρει καὶ ἐν συμφορᾷ τιθεμένου τὰ πραττόμενα, μὴ θαρροῦντος δὲ ἀντερεῖν (pp. 469_{19}—470_5).

34. *Роман Лакапин провъзгласява Христофор за съимператор*

Така бил провъзгласен Роман Лакапин[2], но като не останал доволен от това, след кратко време увенчал и собствената си съпруга Теодора, а след това сина си Христофор[3] уж поради желанието на Константин, а в същност по принуда. Той се оплаквал пред тези, на които имал доверие, смятайки станалото за нещастие, но не смеел да противоречи.

35. De bellis Symeonis cum Romanis gestis et de pace Petro regnante pacto

Ὁ Συμεὼν δὲ κατὰ τῆς πόλεως ἐκπέμπει στρατόν· ἵνα δὲ μὴ ἐλθόντες τὰς πρὸ τῆς πόλεως διαφθείρωσιν ἀγλαΐας, ἔπεμψε καὶ ὁ Ῥωμανὸς τοὺς ἀντιταξομένους αὐτοῖς. καὶ τῶν Βουλγάρων ἀπελθόντων αὐτοῖς πίπτουσι μὲ καὶ τῶν ἀρχόντων πολλοί, τῶν δέ γε στρατιωτῶν οἱ μὲν εἰς τὰς τριήρεις σπεύδοντες ἐμβῆναι παραπλεούσας εἰς τὴν θάλασσαν ἐξωλίσθαινον καὶ ὑπὸ κυμάτων ἐφέροντο, οἱ δὲ ὑπὸ τῶν πολεμίων διώλλυντο, οἱ δὲ καὶ ζῶντες συνελαμβάνοντο. οὕτω δὲ διατεθείσης τῆς Ῥωμαϊκῆς στρατιᾶς κατὰ τὰς Πηγάς, τά τε ἐκεῖ ὄντα ἀνάκτορα οἱ Βούλγαροι ἐπυρπόλησαν καὶ τἆλλα ὅσα ἐν τῷ αἰγιαλῷ τοῦ κατ᾽ἀντικρὺ τῆς πόλεως ἦσαν διακειμένοι πορθμοῦ. θανούσης δὲ τῆς τοῦ Ῥωμανοῦ συμβίου τῆς Αὐγούστης Θεοδώρας ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ Σοφία τοῦ τῆς Αὐγούστης ἠξιώθη ὀνόματος.

Ὁ τῶν Βουλγάρων δ᾽ἐξηγούμενος Συμεὼν τῇ Ἀδριανουπόλει προσέβαλε καὶ ταύτην ἐπολιόρκει. ἤνυσε γ᾽ἂν οὐδέν, εἰ μὴ τοῖς ἔνδον ἐπιλελοίπει τὰ ἐπιτήδεια· βιαζόμενοι γὰρ τῷ λιμῷ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν τοῖς πολεμίοις παρέδωκαν. τότε μέντοι καὶ ὁ ἐκ Τριπόλεως Λέων μετὰ δυνάμεως ναυτικῆς κατὰ Ῥωμαίων ἐχώρησεν· ἀλλὰ τούτῳ περὶ τὴν νῆσον Λῆμνον τριήρεις ἐπελθοῦσαι Ῥωμαϊκαὶ τοὺς μὲν Ἀγαρηνοὺς σχεδόν τι ξύμπαντας διεφθάρκασι, τὰς δὲ νῆας αὐτῶν ὑποβρυχίους ἐποίησαν, μόλις τοῦ Τριπολίτου φυγεῖν ἐξισχύσαντος. καὶ ὁ Βούλγαρος δὲ Συμεὼν τά τε κατὰ Μακεδονίαν καὶ τἆπὶ Θρᾴ-

35 *Войни между Симеон и Византия и сключване на мир при Петър*

А Симеон изпратил войска срещу столицата.[4] И Роман изпратил войски, които да им се противопоставят, за да не разрушат, като нападнат, красотите на градските околности. Когато българите ги нападнали, загинали и много от началниците, а от войниците тези, които побързали да се качат на плуващите край [брега] кораби, изпадали в морето и се носели от вълните, други били погубени от неприятелите, а трети били живи заловени. Докато ромейската войска се намирала в такова положение при Пиги[5], българите опожарили тамошните дворци и всичко друго, което се намирало на брега на пролива срещу града. Понеже съпругата на Роман, августа Теодора, умряла, удостоена била с името августа София, жената на император Христофор.

Предводителят на българите Симеон настъпил срещу Одрин и го обсадил.[6] Той не би постигнал нищо, ако жителите му не били свършили припасите си. Обаче принудени от глада, те предали и себе си, и града на неприятелите. Тогава и Лъв от Триполи[7] потеглил срещу ромеите с морски сили. Но ромейски триери, като стигнали до остров Лемнос, погубили почти всички агаряни и потопили всичките им кораби[8] и едва Триполитанецът само успял да се спаси. И българинът Симеон с голяма войска опустоша-

---

[1] Сражението станало през същата (917) година при с. Катасирти, близо до Цариград. [2] Роман Лакапин свалил регентката императрица Зоя, провъзгласил се за съимператор на Константин VII Багренородни и оженил дъщеря си за него. [3] Христофор е бащата на бъдещата българска царица Мария (Ирина), жена на цар Петър. [4] Събитията се отнасят към пролетта на 921 г. Срв. *Златарски*, История, I, 2, стр. 421—422. [5] Пиги (*Πηγαί* — Извори) — предградие на Цариград, където имало императорски дворци. Срв. *Janin*, op. cit., p. 141-142. [6] Тази обсада на Одрин се отнася според *Златарски*, История, I, 2, стр. 425, 439, 448—449, към 921-922 г., а според *Острогорски*, Историја, стр. 256 — към 923 г. [7] Известният византийски ренегат Лъв Триполитанец, който превзел с арабска флота Солун през 904 г. [8] Разбиването на арабската флота при остров Лемнос станало през 924 г. Срв. *Острогорски*, Историја, стр. 266.

κης σὺν βαρεῖ στρατεύματι ἐληίζετο καὶ παρὰ τὴν πόλιν ἐλθὼν ἀγχοῦ τῶν Βλαχερνῶν πεποίητο τὴν παρεμβολὴν καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐζήτησεν ἐντυχεῖν. καὶ τὴν ἔντευξιν ὁ βασιλεὺς ἠρετίσατο καὶ κατὰ τὸν τοῦ Κοσμιδίου αἰγιαλὸν ὁ μὲν βασιλεὺς σὺν τῷ στολῷ ἀφίκετο, ὁ δέ γε Συμεὼν μετὰ τῆς οἰκείας παρεγένετο στρατιᾶς, καὶ ὡμίλησαν· καὶ ὁ βασιλεὺς μεγαλοπρεπῶς τῷ Συμεὼν ἐδωρήσατο, ἀσύμβατοι δὲ ἀπ᾽ἀλλήλων διέστησαν, ὃ καὶ δυὰς ἔδοξε δηλῶσαι ἀετῶν. φασὶ γὰρ ἄνωθεν αὐτῶν διαπτῆναι τούτους καὶ ἀλλήλοις συμμίξαι μετὰ κλαγγῆς, εἶτ᾽ εὐθὺς διαστῆναι ἀλλήλων, τοῦ μὲν ἐπὶ τὴν πόλιν ἀποπτάντος, τοῦ δ᾽ἐπὶ Θρᾴκην κινήσαντος τὸ πτερόν.

Ὁ βασιλεὺς δὲ Ῥωμανὸς ἀπληστευσάμενος ἐπὶ τῇ τῆς βασιλείας ἀρχῇ καὶ ὥσπερ ἐπιλελησμένος τῶν ὅρκων, οὓς ὠμωμόκει καθ᾽ἱερῶν, καὶ μὴ ἀρκούμενος ὅτι ἑαυτὸν καὶ τὸν τῶν υἱέων πρεσβύτερον ἠξίωσε διαδήματος, καὶ τοὺς λοιποὺς δύο τῶν παίδων αὐτοῦ βασιλικῶς τεταινίωκεν, εἶτα καὶ τὸν ἐκ τοῦ Χριστοφόρου γενόμενον αὐτῷ υἱωνόν, καὶ τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀντὶ βασιλείας εἰς πολυαρχίαν μετήνεγκε. τῷ τελευταίῳ δὲ τῶν υἱῶν αὐτοῦ Θεοφυλάκτῳ τὸν θρόνον τὸν ἀρχιερατικὸν τῆς βασιλίδος τῶν πόλεων μνηστευόμενος ἀπέκειρε κληρικόν, διὰ τοῦ πατριάρχου προχειρισθέντα καὶ σύγκελλον. τοῦ πατριάρχου δὲ Νικολάου ἔτη τρισκαίδεκα τὸ δεύτερον τῆς ἐκκλησίας κρατήσαντος καὶ μεταθεμένου τὴν βιοτήν, ὁ μητροπολίτης Ἀμασείας Στέφανος εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως μετήνεκτο.

Ὁ μέντοι τῶν Βουλγάρων ἄρχων ὁ Συμεών, ἀνὴρ ὢν αἱμάτων, ἡσυχίαν ἄγειν οὔποτε ὅλως προῄρητο· ὅθεν κατὰ τοῦ ἔθνους τῶν Χροβάτων ἐστράτευσεν, ἀλλ᾽ἥττητο ὑπ᾽ἐκείνων, κἀν ταῖς τῶν ὀρῶν δυσχωρίαις τὸ οἰκεῖον ἀπέβαλε στράτευμα. ἐν τούτῳ δὲ πρόσεισί τις τῷ βασιλεῖ Ῥωμανῷ, λέγων τὴν ἄνωθεν τῆς ἐν τῷ Ξυρολόφῳ ἀψῖδος καθιδρυμένην στήλην καὶ πρὸς τὰ ἑσπέρια ἀποβλέπουσαν εἰς τὸν Συμεὼν ἐστοιχειῶσθαι τὸν Βούλγαρον, καὶ εἰ

вал земите на Македония и Тракия и като дошъл до града[1], направил лагера си близо до Влахерните[2] и поискал да се срещне с император Роман. Императорът приел срещата. И той пристигнал с флота на брега на Космидий, а и Симеон дошъл със своята войска и започнали да разговарят. И императорът щедро надарил Симеон. Но те се разделили, без да постигнат съгласие, което, изглежда, са предвещавали двата орела. Защото казват, че два орела прелетели над тях, срещнали се с крясък един с друг и след това веднага се разделили, като единият отлетял към града[3], а другият насочил крилете си към Тракия.

А император Роман, обзет от жажда за царска власт, сякаш забравил клетвите, които положил върху светото писание, и недоволен от това, че удостоил с коронясване себе си и по-стария от синовете си,[4] увенчал като императори и останалите двама от синовете си, а също и внука си от Христофор и така променил управлението на ромейската държава от едновластие в многовластие. А последният от синовете си, Теофилакт[5], на когото замислял да даде патриаршеския трон на Цариград, подстригал за монах, като патриархът го ръкоположил за синкел[6]. А когато умрял патриарх Николай[7], който след възстановяването си управлявал църквата тринадесет години, патриаршеския трон на Цариград заел митрополитът на Амасия[8] Стефан[9].

А царят на българите Симеон, който бил мъж на кървите, въобще не обичал никак да стои спокоен. Затова тръгнал на поход срещу племето на хърватите, но бил победен от тях[10] и дори загубил и собствената си войска в непроходимите планини. В това време при император Роман отишъл някой човек и му казал, че статуята, която е поставена в найгорната абсида на Ксиролоф[11] и която е обърната на запад, предвещава съдбата на Симеон и ако някой отсече главата ѝ, след

[1] Цариград. [2] Влахерни — квартал в северозападната част на Цариград, близо до Златния рог и до т. нар. Влахернска врата. Срв. *Janin*, Constantinople byzantine, pp. 303—304. [3] Към Цариград. [4] Христофор. [5] По-късно цариградски патриарх (933—956). Патриарх Теофилакт бил брат на българската царица Мария (Ирина). Запазено е неговото послание в отговор на запитването, което направил цар Петър, как да действува срещу богомилите. Срв. *Златарски*, История, I, 2, стр. 840—845; ГИБИ, V, стр. 183—189; срв. още *Б. Примов*, Богомилският дуализъм. Произход, същност и обществено-политическо значение, ИИИ, VIII (1960), стр. 87—95; *Д. Ангелов*, Богомилството в България, София, 1961, стр. 22—23; 96—97. [6] Синкелът бил висше духовно лице, един вид секретар на патриарха или на някой митрополит. Синкелът на цариградския патриарх бил същевременно на служба в двореца и по всяка вероятност служел за връзка между патриарха и императора. Вж. *J. B. Bury*, The imperial administrative System, London, 1911, p. 116. [7] Цариградският патриарх Николай Мистик заемал патриаршеския престол от 901 до 907 и от 912 до 925 г., когато починал. Запазена е неговата кореспонденция с българския цар Симеон. Срв. ГИБИ, IV, стр. 185—297. [8] Амасия — град в областта Понт в Мала Азия. [9] Цариградският патриарх Стефан II (925—928). [10] Става дума за неуспешната война, която Симеон водил с хърватите през 925 г. Срв. *Златарски*, История, I, 2, стр. 500—506. [11] Ксиролоф се наричал един от седемте хълма в западната част на Цариград, на който се намирали различни статуи и исторически паметници. Срв. *Janin*, op. cit, pp. 402—403.

τὴν ταύτης ἀποτέμῃ τις κεφαλήν, ἕψεται τῇ ἐκτομῇ τοῦ Συμεὼν ἡ φθορά. ὁ μὲν οὖν εἶπε ταῦτα, καὶ ἡ κεφαλὴ τῆς στήλης οὐκ εἰς μακρὰν ἐξετέτμητο, καὶ τῷ Συμεὼν αὐθωρὸν ἐπέλιπε τὸ βιώσιμον, ληφθέντι καρδιωγμῷ, ὡς μετὰ ταῦτα ἐγνώσθη τῷ βασιλεῖ ἀκριβωσαμένῳ τῆς ἐκείνου τελευτῆς τὸν καιρόν. ὡς δ' ἐξ ἀνθρώπων ὁ Συμεὼν ἀπελήλυθεν, ἡ τῶν Βουλγάρων ἀρχὴ πρὸς Πέτρον τὸν ἐκ τῆς δευτέρας αὐτοῦ γυναικὸς αὐτῷ τεχθέντα περιελήλυθεν. ὅς, ἐπεὶ καὶ λιμῷ τὸ τῶν Βουλγάρων ἔθνος ἦν πιεζόμενον καὶ τὰ πέριξ ἔθνη μὴ κατ' αὐτοῦ ὁρμήσαιεν ἐδεδίει καὶ πρὸ τῶν ἄλλων Ῥωμαίους, στέλλει πρὸς τὸν βασιλεία, σπονδὰς ποιησόμενος, εἰ δ' αἱροῖτο, καὶ κῆδος εἰς ἑαυτόν. ὡς δὲ τῷ βασιλεῖ καὶ ἄμφω καταθύμια ἔδοξε τὰ αἰτούμενα, καὶ αὐτὸς ὁ Πέτρος ἀφίκετο, καὶ γεγόνασι μὲν συνθῆκαι περὶ σπονδῶν, συνήφθη δὲ αὐτῷ πρὸς συμβίωσιν γαμικὴν καὶ ἡ τοῦ βασιλέως ἐγγόνη, ἣ ἐκ τοῦ πρεσβυτέρου τῶν υἱῶν αὐτοῦ τοῦ Χριστοφόρου γεγέννητο.

отсичането ще последва гибелта на Симеон. Прочее това казал той и не след дълго главата на статуята била отсечена. И същия час настъпил краят на Симеон, който умрял от сърдечен удар, както узнал след това императорът, като разпитвал подробно за времето на неговата смърт.[1] Щом Симеон напуснал тоя свят, властта над българите преминала върху Петър,[2] роден от втората му жена. Той, понеже българският народ бил измъчван от глад и понеже се страхувал да не би околните народи да потеглят срещу него, а преди всичко ромеите, изпратил хора при императора, за да сключи мир, а ако той би пожелал, и брачен съюз с него. Понеже и двете предложения се понравили на императора, пристигнал и самият Петър. Бил сключен договор за мир[3] и се свързал брачен съюз между него и внучката[4] на императора, дъщерята на най-стария му син Христофор.

Ὁ δὲ βασιλεὺς Ῥωμανὸς οὐκ ἀρκοῦν ἡγούμενος ὅτι ἑαυτοῦ τὸν βασιλέα Κωνσταντῖνον ὑπεβίβασε, λαβὼν ἐζήτει καὶ τὸν Χριστοφόρον προθεῖναι αὐτοῦ· καὶ παρεσκεύασε τὴν τῶν Βουλγάρων πληθὺν ἐν τῷ τοῦ γάμου καιρῷ στασιάσαι, ζητοῦσαν τὸν Χριστοφόρον πρὸ τοῦ Κωνσταντίνου ἀναγορεύεσθαι, καὶ διὰ τὴν στάσιν δῆθεν οἰκονομῶν τι παρεχώρησε τὸ αἰτούμενον γίνεσθαι. εἶτα μήτε τὸ θεῖον δείσας, ὃ τὰς ὁμολογίας αὐτῷ ἐμπεπέδωκε, μήτ' αἰδεσθεὶς τὸ ὑπήκοον, καὶ ἄμφω τοὺς ἄλλους υἱεῖς αὐτοῦ τοῦ Κωνσταντίνου προτέρους εὐφημεῖσθαι πεποίηκε, καὶ ὁ πρῶτος πέμπτος ἐγένετο, καὶ εἰ μὴ ὁ μικρὸς Ῥωμανὸς ὁ τοῦ Χριστοφόρου υἱὸς ἔφθη θανών, κἀκεῖνος ἂν αὐτοῦ προτετίμητο (pp. 470_{12}—475_{1}).

А император Роман, като не се задоволявал с това, дето поставил по-ниско от себе си император Константин[5], търсил повод да постави пред него и Христофор. Той подучил събраните българи, които били там по време на сватбата, да се покажат недоволни и да поискат да бъде приветствуван Христофор преди Константин, като представил, че уж поради това недоволство е отстъпил на молбата им. След това, без да се бои ни от бога, който утвърдил неговите обещания, и без да се свени от поданиците си, наредил и другите двама синове[6] да бъдат поздравявани преди Константин и ако малкият Роман, синът на Христофор, не бил умрял, би го почел също преди него.

36. De comitis filiorum seditione

Ὁ μέντοι τῶν Βουλγάρων ἀρχηγετῶν Πέτρος, τῆς γυναικὸς αὐτοῦ θανούσης, τὰς πρὸς Ῥωμαίους ἀνακαινίζων σπονδὰς ὁμήρους παρέσχε δύο οἰκείους υἱοὺς Βορίσην καὶ Ῥωμανόν· καὶ ὁ μὲν ἀπεβίω, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν εἰάθησαν εἰς τὰ οἰκεῖα

36. За бунта на комитопулите

И тъй предводителят на българите Петър, след като умряла неговата жена[7], подновил договора с ромеите и дал синовете си Борис и Роман за заложници.[8] Когато той умрял,[9] на неговите деца било позволено да се върнат в страната си и да завземат бащината си

[1] Цар Симеон починал внезапно на 27 май 927 г. Срв. *Златарски*, История, I, 2, стр. 513—515. [2] Българският цар Петър (927—970). Симеон лишил от престола най-големия си син Михаил, роден от първия му брак. [3] Мирният договор между България и Византия бил сключен през есента на 927 г. Преговорите за мир били водени от вуйчото на цар Петър, Георги Сурсувул, който имал голямо влияние в управлението. Срв. *Златарски*, История, I, 2, стр. 516—523. [4] Става дума за внучката на Роман Лакапин Мария, която по случай сключването на мирния договор била наречена Ирина. [5] Законният император Константин VII Багренородни. [6] Имат се пред вид другите двама сина на Роман Лакапин — Стефан и Константин. [7] Българската царица Мария-Ирина починала около 963 г. [8] Мирният договор между България и Византия бил потвърден през 963 г., след смъртта на Роман II (959—963). Едно от условията било цар Петър да изпрати синовете си Борис и Роман като заложници в Цариград. Вж. *Златарски*, История, I, 2, стр. 569—570. [9] *В. Н. Златарски*, История, I, 2, стр. 579, отнася смъртта на цар Петър към 30 януари 969 г. Според някои автори Петър умрял през януари 970 г. Срв. *К. Иречек*, История на българите. Поправки и добавки от самия автор, под редакцията на Ст. Аргиров, София, 1939, стр. 102—103; *П. Петров*, Образуване и укрепване на Западната българска държава, част I, ГСУфиф, LIII, 2, 1959, стр. 164.

καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. ἑνὸς γὰρ τῶν κομήτων τῶν ἐν Βουλγάροις τέσσαρες παῖδες, Δαβίδ, Μωσῆς, Ἀαρών, Σαμουήλ, ἀποστατήσαντες τοὺς Βουλγάρους ἀνέσειον (p. 495_{7-13}).

власт.[1] А четиримата сина на един от комитите в България — Давид, Мойсей, Арон, Самуил — въстанали и бунтували българите.[2]

37. Sphentoslavus Bulgariam invadit

Τῶν δὲ Τούρκων, τῶν Οὔγγρων δηλαδή, τὰ Θρᾳκῷα ληιζομένων, τῷ Βουλγαρίας ἔγραψεν ἄρχοντι ὁ βασιλεὺς Νικηφόρος μὴ παραχωρεῖν αὐτοῖς διαβαίνειν τὸν Ἴστρον καὶ τῇ Ῥωμαίων λυμαίνεσθαι. ὁ δὲ οὐχ ὑπήκουσε, λέγων ὡς „ὅτε καθ' ἡμῶν οὗτοι ἐστράτευον, παρακαλούμενος συμμαχῆσαι ἡμῖν οὐκ ἠθέλησας. καὶ νῦν ὅτε βιασθέντες σπονδὰς ἐθέμεθα πρὸς αὐτούς, ἀξιοῖς ἡμᾶς παρασπονδῆσαι ὅπλα τε κατ' ἐκείνων ἄρασθαι καὶ κινῆσαι πόλεμον ἀπροφάσιστον.“ ἀποκρουσθεὶς τοίνυν ἐντεῦθεν εἰς τὸν ἄρχοντα Ῥωσίας τὸν Σφενδοσθλάβον διεπρεσβεύσατο, ἐξορμῶν κατὰ Βουλγάρων αὐτόν· διὸ καὶ τὸν υἱὸν τοῦ ἐν Χερσῶνι πρωτεύοντος τὸν Καλοκυρὸν πρὸς Ῥωσίαν ἐκπέπομφεν. ἐπιστρατεύει τοίνυν κατὰ Βουλγάρων σύνταγμα Ῥωσικὸν καὶ χώραν αὐτῶν πολλὴν ἐληίσατο καὶ λείαν οὐκ εὐαρίθμητον ἐκεῖθεν ἀπήλασε. καὶ τῷ ἐπιόντι δ' ἐνιαυτῷ οὐχ ἧττον τῶν προτέρων οἱ Ῥῶς τὰ Βουλγάρων ἐκάκωσαν (pp. 512_{18}—513_{14}).

37. Светослав нахлува в България

Когато турките — сиреч угрите — опустошавали тракийските области, император Никифор[3] писал на българския цар да не ги пуска да преминават Дунава и да опустошават ромейската държава.[4] А той[5] не послушал, като казал: „Когато те воюваха срещу нас, при все че бе повикан от нас, ти не пожела да ни дойдеш на помощ. И сега, когато по принуждение ние сключихме съюз с тях, ти ни караш да нарушим договора, да вдигнем оръжие срещу тях и да започнем безпричинна война.“ Прочее, след като получил отказ от тях, Никифор изпратил пратеници при княза на Русия Светослав[6], като го подтиквал срещу българите. Затова той изпратил в Русия Калокир[7], сина на херсонския протевон. И тъй руска войска потеглила на поход срещу българите и опустошила голяма част от страната им и откарала оттам безбройна плячка.[8] И на следната година[9] русите нанесли на българските земи злини, не по-малки от предишните.

38. Pauliciani Bulgariam Joanne Zimisce regnante incolunt

ὅσπερ τὴν ἀρχιερωσύνην καταδεξάμενος ἀξίωσιν ἔθετο πρὸς τὸν Ἰωάννην τοὺς Μανιχαίους ἐκ τῆς ἑῴας μετοικίσαι πρὸς τὰ ἑσπέρια, πολλοὺς τῇ αὐτῶν μυσαρᾷ αἱρέσει διαφθείροντας. οὗ τὴν ἀξίωσιν πληρῶν εἰς Φιλιππούπολιν μετήγαγε τὸ γένος τῶν Μανιχαίων (pp. 521_{15}—522_{4}).

38. Преселване на павликяни в Тракия по време на Йоан Цимисхий

Той, като приел патриаршеския престол,[10] изявил желание пред император Йоан[11] да пресели от Изток в западните области манихеите[12], които поквариха мнозина със своята мерзка ерес. Той изпълнил искането му и докарал манихейското племе във Филипопол.

[1] Според *Златарски*, История, I, 2, стр. 593, връщането на Борис и Роман в България станало през пролетта на 969 г.; *Петров*, Образуване и укрепване на Западната българска държава..., стр. 164, отнася това събитие към пролетта или лятото на 970 г. [2] Въстанието на комитопулите, синовете на комит Никола, избухнало непосредствено след смъртта на Йоан Цимисхий—11 януари 976 г. Срв. *Златарски*, История, I, 2, стр. 641—642. [3] Никифор II Фока (963—969). [4] Едно от условията за подновяване през 963 г. на договора от 927 г. било българите да не пускат през своите земи маджарите да нападат византийските територии. Срв. *Златарски*, История, I, 2, стр. 569; *П. Мутафчиев*, Маджарите и българо-византийските отношения през третата четвърт на X в., ГСУифф, XXXI, 8, 1935, стр. 18 и сл. [5] Цар Петър. [6] Киевският княз Светослав (946—972). [7] Калокир, синът на херсонския управител, бил изпратен от Никифор II Фока при Светослав към края на 967 или в началото на 968 г. Срв. *П. О. Карышковский*, О хронологии русско-византийской войны при Святославе, ВВр., V, 1952, стр. 134—138. [8] Първото нахлуване на киевския княз Светослав в България се отнася към края на пролетта и началото на лятото на 968 г. Тогава русите превзели редица градове по Дунава, между които бил и гр. Переяславец (Малий Преслав). Срв. *Златарски*, История, I, 2, стр. 577—580; *Карышковский*, О хронологии русско-византийской войны при Святославе, стр. 138. [9] През 969 г. [10] Става дума за монаха Теодор, който станал антиохийски патриарх в 969 г. [11] Йоан Цимисхий (969—976). [12] Манихеи тук са наречени павликяните. Преселването на павликяни в Пловдивската област станало, както се вижда от текста, в началото на управлението на Йоан Цимисхий. За преселване на павликяни в Тракия срв. *Ангелов*, Богомилството в България, стр. 216.

39. De praeliis a Sphentoslavo cum Romanis in Bulgaria conflictis

οἱ δέ γε Ῥῶς τὸ τῶν Βουλγάρων ἔθνος καὶ τὴν χώραν αὐτῶν ὑφ' ἑαυτοὺς ποιησάμενοι καὶ τοὺς ἡγεμόνας τοῦ ἔθνους τὸν Βορίσην τε καὶ τὸν Ῥωμανὸν οὐκέτι τῶν οἴκοι ἐμέμνηντο, ἀλλ' ἤθελον αὐτοῦ που μένειν τὴν χώραν κατέχοντες. πρὸς τοῦτο δ' αὐτοὺς καὶ ὁ Καλοκυρος ἀνηρέθιζεν· „εἰ γὰρ βασιλεὺς Ῥωμαίων ἀναρρηθήσομαι παρ' ὑμῶν", ἔλεγε „τῆς τε τῶν Βουλγάρων χώρας παραχωρήσω ὑμῖν καὶ διαθήσομαι πρὸς ὑμᾶς εἰρήνην διαιωνίζουσαν καὶ τὰ ὑπεσχημένα παρέξω κατὰ τὸ πολλαπλάσιον." οἱ δὲ τῇ τε τῶν χωρῶν ἀρετῇ θελχθέντες, καὶ τοῖς λόγοις τοῦ Καλοκυροῦ χαυνωθέντες οὔτε τῷ βασιλεῖ πάντα ποιήσειν ἐπιτελῆ τὰ παρὰ τοῦ Νικηφόρου σφίσιν ὑπεσχημένα ἐπείθοντο γράφοντι καὶ τοῖς πρέσβεσιν ὡμίλησαν ἀλαζονικώτερον. ἐντεῦθεν ἄρασθαι κατ' αὐτῶν ὅπλα ἠναγκάσθη καὶ ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπιστήσας στρατάρχην, ὃν στρατηλάτην ὠνόμασε, Βάρδαν μάγιστρον τὸν Σκληρόν, τῆς ἤδη θανούσης αὐτοῦ γαμετῆς αὐτάδελφον ὄντα, ὁρμῆσαί οἱ κατὰ τῶν Ῥῶς ἐνετείλατο. καὶ ὁ μὲν ἀπῄει· οἱ βάρβαροι δὲ τοῦτο μαθόντες καὶ ὁ τούτων ἔξαρχος ὁ Σφενδοσθλάβος, τούς τε Βουλγάρους ὁπλίσαντες καὶ συμμάχους προσειληφότες Σκύθας, οἳ Πατζινάκαι κικλήσκονται, καὶ τοὺς τὴν Παννονίαν οἰκοῦντας Τούρκους καὶ στρατιὰν εἰς τριάκοντα μυριάδας ἀριθμουμένην συστησάμενοι τὴν Θρᾴκην ἅπασαν ἐληΐζοντο. τούτοις οὖν μὴ θαρρῶν ὁ Σκληρὸς συμμῖξαι καὶ κατὰ συστάδην μαχέσασθαι (πολλοστὸν γὰρ ἦν πρὸς τὸ πλῆθος ἐκείνων τὸ μετ' αὐτοῦ στρατιωτικόν) στρατηγικαῖς μεθόδοις τοὺς βαρβάρους κατηγωνίσατο. καὶ πρῶτον μὲν λόχους καθίσας καὶ μόνοις Πατζινάκαις ἐπελθὼν καὶ εὐφυῶς αὐτοὺς περιαγαγὼν εἰς τοὺς λόχους, τοὺς μὲν ἀνεῖλε, τοὺς δ' εἷλε ζῶντας· εἶτα καὶ τοῖς ἄλλοις συμμίξαντι μέχρι μέν τινος ἰσόρροπος ἦν ἡ μάχη αὐτῷ· ὡς δέ τις τῶν Σκυθῶν καὶ ὄγκῳ σώματος καὶ ψυχῆς παραστήματι γενναῖος εἶναι δοκῶν καὶ τῶν ὁμογενῶν ἁπάντων ὑπερτερεῖν, ὁρῶν τὸν Σκληρὸν ἔφιππον διιόντα τὰς ὑφ' ἑαυτὸν τάξεις καὶ ταύτας εἰς ἀλκὴν διεγείροντα, ὥρμησε κατ' ἐκείνου καὶ κατήνεγκε τὸ ξίφος κατὰ τῆς κεφαλῆς τοῦ ἀνδρός· τὸ δὲ τῇ τοῦ κράνους ἰσχύϊ καὶ τῇ λειότητι οὐχ ἥψατο αὐτοῦ. ὁ Σκληρὸς αὖθις κατὰ τῆς κεφαλῆς τὸν Σκύθην ἀντέπληξε, καὶ ἡ τοῦ ξίφους καταφορὰ εἰς τοσοῦτον γέγονεν ἐνεργὸς ὡς διχῇ τμηθῆναι τὸν βάρβαρον καὶ ἡμίτομα τοῦ ἵππου τὰ μέρη αὐτοῦ ἐκπεσεῖν. οἱ βάρβαροι δὲ τὸ ἔργον ἐκπλαγέντες εἰς δειλίαν ἐνέπεσον καὶ εἰς φυγὴν αὐτίκα ἐτράπησαν, οἷς οἱ Ῥωμαῖοι κατόπιν ἐλαύνοντες πολλοὺς μὲν

39. Сражения между Светослав и византийци в България

А русите, като подчинили под властта си българския народ, страната им и предводителите на народа Борис и Роман, забравили вече своята земя и искали да останат там, като владеят страната. Към това ги подтиквал и Калокир, който им казвал: „Ако бъда провъзгласен от вас за ромейски император, ще ви предоставя земята на българите, ще сключа с вас вечен мир и ще ви дам много повече, отколкото съм ви обещал." А те, пленени от прекрасната земя и надъхани от думите на Калокир, не послушали императора[1], който им писал, че ще изпълни всички обещания, дадени им от Никифор, и се отнесли твърде високомерно с пратениците. Тогава той се принудил да вдигне оръжие срещу тях и като назначил за военачалник на ромейските войски, когото нарекъл стратилат[2], магистър Варда Склир, брата на покойната си съпруга, заповядал му да се отправи срещу русите. И той потеглил. А варварите и князът им Светослав, като научили това, въоръжили българите, привлекли за съюзници скитите, които се наричат печенеги, и турките[3], които населяват Панония. Така те събрали приблизително тристахиляднa[4] войска и почнали да опустошават цяла Тракия. Прочее Склир не се осмелил да се приближи и да започне сражение, тъй като войската му била много малка в сравнение с тяхното множество, но ги победил със стратегическо умение. Най-напред той се насочил само към печенегите и като им устроил засада, успешно ги подвел в засадата: едни от тях той избил, а други заловил живи. След това влязъл в сражение с други и известно време битката била с променлива победа. В това време един скит, който изглеждал, че е личен и по ръст, и по храброст и че превишавал всички свои съмишленици, като видял, че Склир обхожда на кон своите отреди и ги насърчава към смелост, се спуснал срещу него и стоварил меча си върху главата му. Но не могъл да го засегне, понеже шлемът му бил здрав и гладък. Склир пък от своя страна ударил скита по главата. И ударът бил толкова успешен, че разсякъл на две варварина и половината му тяло, отсечено, паднало от коия. А варварите, смаяни от станалото, били обзети от страх и веднага се спуснали да бягат, а ромеите ги погнали и избили мнозина и

[1] Йоан Цимисхий. [2] Длъжността стратилат (*στρατηλάτης*) е равнозначна на главнокомандуващ. [3] Т. е. маджарите. [4] Числото е явно преувеличено, за да се подчертае последвалата победа на византийската войска.

ἀνῄρουν, πολλοὺς δ᾽ἐζώγρουν. ἔπαυσε τῆς διώξεως τοὺς περὶ τὸν Σκληρὸν ἐπελθοῦσα ἡ νύξ· τέως δὲ καὶ ὅσοι περιελείφθησαν τραυματίαι ἦσαν. — — — —

τούτων οὖν οὕτω συνενεχθέντων, γραφὴ καταλαμβάνει βασίλειος τὸν Σκληρὸν ἄρτι τοὺς Σκύθας τρεψάμενον διαπεραιωθῆναι πρὸς τὴν ἑῴαν καὶ τῷ Βάρδᾳ τῷ Φωκᾷ ἀντικαταστῆναι (pp. 522_{17}—525_{3}; 525_{16}—526_{2}).

40. Joannes Zimisces Bulgariam capit

Νυμφεύεται δ᾽ἑαυτῷ γυναῖκα ὁ βασιλεὺς σπουδῇ Βασιλείου τοῦ παρακοιμωμένου Θεοδώραν θυγατέρα Κωνσταντίνου τοῦ Πορφυρογεννήτου. ἔτει δὲ δευτέρῳ τῆς αὐτοῦ βασιλείας ἔαρος ἀναλάμψαντος ἐκστρατεύει κατὰ τῶν Ῥῶς σὺν στρατεύμασι πλείοσι καὶ στόλῳ περιφανεῖ· καὶ ἀπιόντι συναντῶσιν αὐτῷ πρεσβευταὶ δῆθεν τῶν Σκυθῶν· οἱ δὲ κατοπτῆρες ἦσαν καὶ τῆς τῶν Ῥωμαίων ἰσχύος κατάσκοποι, ὃ οὐδὲ τὸν βασιλέα διέλαθε. προστάξας οὖν περιαχθῆναι αὐτοὺς κατὰ πᾶν τὸ στρατόπεδον καὶ τοῦτο καταμαθεῖν, ἐκέλευσεν ἀπαλλάττεσθαι. ἐκείνων δὲ ἀπιόντων καὶ αὐτὸς εὐζώνους παραλαβὼν πεζοὺς εἰς χιλιάδας πέντε καὶ ἱππότας τετρακισχιλίους ὀπίσω τῶν πρέσβεων ἀπῄει καὶ ἀθρόον ἐγγὺς τῆς μεγάλης Περσθλάβας γίνεται καὶ βάλλεται χάρακα, ὃ τοὺς Ταυροσκύθας εἰς ἀμηχανίαν ἐνέβαλε. Καλοκύρης δὲ ὁ τῶν κακῶν πρωτουργὸς ἐκεῖ τότε παρὼν καὶ γνοὺς τὸν βασιλέα παραγενόμενον, πρὸς τὴν τῶν Ῥῶς ἀπέδρα παρεμβολήν, ἀφ᾽ οὗ τὴν τοῦ βασιλέως παρουσίαν μαθόντες ἐπεθορύβηντο, ὅμως μέντοι παραστρατοπεδεύονται τοῖς Ῥωμαίοις. οἱ δὲ περὶ τὸν βασιλέα ἐλθόντες εἰς τὸ τῆς Περσθλάβας ἄστυ, ὡς εἴρηται, καταλαμβάνουσιν ἐκτὸς γυμναζομένους ὡς ὀκτακισχιλίους κἀκείνοις συνέμιξαν. οἱ δὲ πρὸς μὲν ὀλίγον ἀντέσχον, εἶτα νῶτα στρέψαντες ἔφευγον. καὶ οἱ εντός, ὡς ἕκαστος ἠδύνατο ὁπλισάμενοι, ἐπικουρήσοντες τοῖς ὁμοφύλοις ἐξῄεσαν, καὶ ἀσυντάκτως αὐτοῖς χωροῦσιν ὑπαντιάζοντες οἱ Ῥωμαῖοι ἀνῄρουν, οἱ δὲ εἰς τὴν πόλιν αὖθις ἀνθυπενόστουν.

множина заловили живи. С настъпването на нощта хората на Склир прекратили преследването. Обаче и колкото останали живи, били ранени.[1] — — —

Прочее, когато станало това, Склир, който току-що прогонил скитите[2], получил писмо от императора да премине на Изток и да се опълчи срещу Варда Фока[3].

40. Йоан Цимисхий завладява България

Императорът със съдействието на паракимомен Василий[4] се оженил за Теодора, дъщеря на Константин Багренородни. На втората година от своето царуване,[5] при настъпването на пролетта, той тръгнал на поход срещу русите с много по-голяма войска и със значителна флота. Когато тръгвал, срещнали го скити — уж като пратеници; а те били съгледвачи и разузнавали силата на ромеите, което не останало скрито за императора. След като наредил да бъдат разведени из целия стан и да го гледат, заповядал да се отдалечат. Когато те си отишли, той взел около пет хиляди отбрани пехотинци и четири хиляди конници и тръгнал след пратениците. Така той стигнал ненадейно близо до Велики Преслав и се разположил на стан, което всяло паника сред тавроскитите.[6] А Калокир, първопричинителят на злините, бил тогава там и като узнал, че е дошъл императорът, избягал в стана на русите. От него те узнали за пристигането на императора и били обзети от смут, но все пак разположили стана си близо до ромеите. А войските на императора, като стигнали, както казахме, до град Преслав, сварили вън от него около осем хиляди войници,[7] излезли на учение, и влезли в сражение с тях. Те издържали кратко време, а след това обърнали гръб и избягали. А ония, които били вътре, се въоръжили кой как можал и излезли, за да помогнат на съплеменниците си. И както вървели безредно, ромеите ги пресрещали и избивали, а други се отпра-

---

[1] Сражението станало при Аркадиопол, дн. Люлебургас, през есента на 970 г. Срв. *Златарски*, История, 1, 2, стр. 603—604; *Карышковский*, О хронологии русско-византийской войны при Святославе, стр. 136.
[2] Под „скити" тук се разбират Светославовите руси.
[3] Варда Фока бил син на куропалат Лъв Фока, брат на убития от Йоан Цимисхий Никифор II Фока. Варда Фока вдигнал голям бунт в Мала Азия.
[4] Паракимомен се наричал дворцовият служител, който се грижел за безопасността на императорската спалня. През X в. той става един от най-влиятелните сановници в двореца и в империята. Срв. *Bréhier*, Les institutions, pp. 128—130. Паракимомен Василий вземал активно участие в управлението на държавата при Йоан Цимисхий и в първите години от царуването на Василий II. Срв. *Острогорски*, Историjа Византиjе, стр. 285—286.
[5] Т. е. през 971 г.
[6] Според *Златарски*, История, I, 2, стр. 609, завладяването на българската столица станало през април 972 г. *Fr. Dölger*, Die Chronologie des grossen Feldzüges des Kaisers Johanes Tzimiskes gegen die Russen, BZ, 32 (1932), датира това събитие през април 971 г. Срв. също *Острогорски*, Историjа Византиjе, стр. 281; *Карышковский*, О хронологии русско-византийской войны при Святославе, стр. 138.
[7] Става дума за част от Светославовата войска.

ἀλλ᾽ἱππέων τινῶν ἐξιππασαμένων καὶ τὴν εἰς τὴν πόλιν ἀπάγουσαν ἀτραπὸν ἐπιτειχισάντων, οἱ βάρβαροι ἀνὰ τὸν ἐκτὸς τοῦ ἄστεος χῶρον ἐσκίδναντο· ἔνθα οἱ μὲν ἐζωγροῦντο, οἱ δὲ καὶ ἀκτείνοντο, οἱ δ᾽ἐν τῇ πόλλει τὰς πύλας κλείσαντες ἐπολιορκοῦντο. τῇ δ᾽ἑξῆς τοῦ παρακοιμωμένου Βασιλείου μετὰ πάσης τῆς στρατιᾶς ἐλθόντος, ἐρρωμενέστερον ὁ βασιλεὺς τῇ πολιορκίᾳ ἐπικεχείρηκε· καὶ τινες διὰ κλιμάκων εἰς τὸ τεῖχος ἀναβεβήκασι καὶ τοὺς ἐκεῖ τῶν βαρβάρων καταληφθέντας συγκόψαντες ξίφεσι τὰς πύλας ἠνέῳξαν καὶ τῇ Ῥωμαϊκῇ στρατιᾷ πάσῃ ῥᾳδίαν παρέσχον τὴν εἴσοδον. καὶ οὕτως μὲν τὸ τῆς Περσθλάβας ἄστυ Ῥωμαίοις κατέστη ἁλώσιμον, ἔνθα καὶ ὁ τῶν Βουλγάρων βασιλεὺς ὁ Βορίσης ἑάλω· ᾧ καὶ πᾶσι δὲ τοῖς Βουλγάροις ἐπιεικῶς ὁ αὐτοκράτωρ ἐχρήσατο, ἀνέτους αὐτοὺς ἀφιείς, οὐ κατὰ Βουλγάρων λέγων ἄρασθαι ὅπλα, κατὰ δέ γε τῶν Ῥῶς. πολλῶν δὲ Σκυθῶν εἰς ὀχύρωμά τι προσπεφευγότων, ἐξελεῖν καὶ τοῦ το ὁ βασιλεὺς ἐκέλευσεν. οἱ δὲ στρατιῶται διὰ τὸ τοῦ τόπου δυσάλωτον ἦσαν ἀπρόθυμοι. ὃ γνοὺς ὁ Ἰωάννης αὐτὸς πρὸ τῶν ἄλλων πεζὸς ἀπῄει πρὸς τὸ ὀχύρωμα, κἀντεῦθεν ἐκεῖ συνέθεον ἅπαντες· καὶ ἥλω κἀκείνων σπουδῇ τὸ ὀχύρωμα καὶ τῶν ἐν αὐτῷ οἱ μὲν διεφθάρησαν, ἔνιοι δὲ καὶ ἁλωτοὶ Ῥωμαίοις ἐγένοντο. τούτῳ μὲν οὖν τῷ ἄστει φρουρὰν ἐγκατέστησεν ὁ βασιλεὺς ἀξιόμαχιν, ἐκεῖνος δὲ ἀπῄει πρὸς τὸ Δορόστολον, ὃ καὶ Δρίστρα καλεῖται, καί τινας πόλεις ἑλὼν κατὰ πάροδον καὶ φρούρια ἐκπορθήσας ἔφθακει πρὸς τὸ Δορόστολον. ἦν δὲ πρὸ τῆς πόλεως ταύτης ἐστρατοπεδευκὼς ὁ τῶν Ῥῶς ἀρχηγὸς ὁ Σφενδοσθλάβος. ὡς οὖν εἶδον ἀλλήλας αἱ στρατιαί, συνερράγησαν ἐπ᾽ἀλλήλας εὐθύς, καὶ τὸ μὲν πολὺ τῆς ἡμέρας ἀγχωμάλως ἐμάχοντο, περὶ δὲ δείλην ὀψίαν ἀπειρηκότες οἱ Ῥῶς ἐνέκλιναν πρὸς φυγήν· καὶ οἱ Ῥωμαῖοι ἐδίωκον, πλεῖστοι μὲν οὖν τῶν βαρβάρων ἀπώλοντο, οὐ μείους δὲ ἐζωγρήθησαν, οἱ δ᾽εἰς τὸ Δορόστολον ἐπανῆλθοσαν· καὶ ὁ βασιλεὺς πρὸ τῆς πόλεως πηξάμενος χάρακα τὰς τριήρεις τὸν Ἴστρον φυλαξούσας προσέμενεν, ἵνα μὴ οἱ Ῥῶς ἀποδράσαιεν. ὁ δὲ Σφενδοσθλάβος οὓς κατεῖχε Βουλγάρους, εἰς εἴκοσι χιλιάδας ὄντας, ὡς λέγεται, πάντας ὑπὸ δεσμοῖς ἐποιήσατο, δείσας μὴ ἐπανασταῖεν αὐτῷ ἢ τῷ βασιλεῖ προσχωρήσωσιν. ὡς δὲ καὶ ὁ στόλος παρῆν, ἐπολιόρκει τὴν πόλιν ὁ βασιλεύς. ἐκ Κωνσταντείας δὲ καὶ φρουρίων ἑτέρων πρέσβεις πρὸς τὸν βασιλέα ἀφίκοντο αἰτοῦντες συγγνώμην καὶ ἑαυτοὺς παραδιδόντες αὐτῷ καὶ τὰ φρούρια. καὶ

вяли отново към града. Обаче неколцина конници бързо препуснали и преградили пътя, който водел към града. Варварите се пръснали на полето вън от града. Там едни били пленени, други избити. Ония, които се намирали в града и заключили градските врати, били обсадени. На следния ден пристигнал паракимомен Василий с цялата войска и императорът започнал по-усилена обсада. Някои се качили със стълби на крепостните стени, съсекли с мечовете си заловените там варвари, отворили вратите и дали възможност на цялата ромейска войска лесно да влезе И така бил превзет от ромеите град Преслав, където бил заловен и цар Борис[1]; към него императорът се отнесъл снизходително, както и към всички българи. Той ги оставил свободни, казвайки, че не е вдигнал оръжие срещу българите, но срещу русите. Понеже много скити били избягали в едно укрепление,[2] императорът заповядал да превземат и него. Но войниците отивали с неохота поради непристъпността на мястото. Като научил това Йоан, сам отишъл пеша преди другите при укреплението и тогава всички се стекли там. С тяхното усърдие било превзето и това укрепление и едни от ония, които били в него, погинали, а други станали пленници на ромеите. В тоя град императорът оставил значителна стража, а сам се отправил към Доростол, наречен още и Дристра. Като превзел по пътя някои градове и разрушил някои крепости, той пристигнал до Доростол. Князът на русите Светослав се бил разположил на стан пред този град. Щом войниците се видели едни други, веднага се нахвърлили едни срещу други и по-голямата част от деня се сражавали с еднакъв успех, а привечер русите се отчаяли и ударили на бяг. Ромеите ги преследвали и извънредно голям брой от варварите погинали, други били заловени в плен, а някои се върнали в Доростол. А императорът се разположил на стан пред града и очаквал триерите, които щели да пазят Дунава да не избягат русите. А Светослав оковал всички българи, които имал, около двадесет хиляди, както казват, понеже се боял да не въстанат срещу него или да минат на страната на императора.[3] Щом като пристигнала и флотата, императорът обсадил града. От Констанция[4] и от други крепости дошли пратеници при императора, които искали милост и му предавали и себе си, и крепостите си.

---

[1] Българският цар Борис II (969—972). [2] Очевидно тук става дума за т. нар. вътрешен град, ограден от вътрешната крепостна стена. [3] За отношенията между българи и руси по време на тези събития вж. *П. Мутафчиев*, Русско-болгарские отношения при Святославе, Seminarium Kondakovianum, IV, 1931, p. 77. [4] Констанция — при дн. Кюстенджа.

ταῦτα μὲν οἱ Ῥωμαῖοι παρέλαβον, ἡ δὲ τοῦ Δοροστόλου πολιορκία ἐφ' ἡμέρας διήρκεσε πλείονας, τῶν βαρβάρων εὐψύχως ἀνταγωνιζομένων. ὡς δ' ἐκ τῶν πολέμων τῶν συνεχῶν πολλοὶ τραυματίαι γεγόνασιν, ἤδη δὲ αὐτοὺς καὶ τὰ ζωαρκῆ ἐπιλέλοιπεν, ἔρξαντο σφίσι θραύεσθαι τὰ φρονήματα. ἀλλ' Σφενδοσθλάβος νύκτα φυλαξάμενος ἀσέληνον καὶ χειμέριον, ἐν μονοξύλοις ἄνδρας ἐμβιβάσας ὡσεὶ δισχιλίους καὶ αὐτὸς ἐκείνοις συνεμβεβηκώς, ἀπῆλθεν ἐπισιτίσασθαι καὶ συλλέξαντες τὰ χρειώδη εἰς τὸ Δορόστολον ἐπανῆεσαν. καὶ τινας τῶν Ῥωμαίων θεράποντας περὶ τὸν ποταμὸν ἐσκεδασμένους κατ' ἄλλας καὶ ἄλλας χρείας ἰδόντες, ἐκβάντες τῶν πλοίων ἐνίους ἀπέκτειναν καὶ λαθόντες αὖθις εἰς τὸ Δορόστολον ἐπανήλθοσαν. τοῦτο πάνυ τὸν βασιλέα ἐλύπησε καὶ τοῖς τοῦ στόλου κατάρχουσιν ἐπιχόλως εἶχε, καὶ εἰ ἔτι λάθοιεν αὐτοὺς οἱ βάρβαροι ἀποπλεύσαντες, ἠπείλησε θάνατον εἶναι σφίσι τὸ ἐπιτίμιον. ἐφ' ὅλαις δὲ ἡμέραις ἑξήκοντα πολιορκήσας τὴν πόλιν καὶ μήπω ταύτην ἑλὼν ἔγνω λιμῷ ἔνδον καταγωνίσασθαι· καὶ περικάθηται ταύτην, ἐπιτηρῶν ἀκριβῶς ἵνα μή ποθεν αὐτοῖς χρειῶδές τι κομισθῇ. οἱ δὲ βάρβαροι πολλάκις ἐκδρομὰς ποιησάμενοι ἡττῶντο· ἐπεὶ δὲ καὶ τῷ λιμῷ ἐπιέζοντο καὶ οὔτε τῶν ἀναγκαίων ἦν αὐτοῖς χορηγίας ἐλπίς, οὐδὲ μέντοι γε συμμαχίας, οἱ μὲν ἀποδρᾶναι νυκτὸς συνεβούλευον, οἱ δὲ Ῥωμαίοις ἑαυτοὺς πιστεῦσαι καὶ οὕτως ἐπανελθεῖν εἰς τὰ ἴδια, οἱ δ' ἄλλο τι ὑπετίθουν.

Ὁ δέ γε Σφενδοσθλάβος ἔτι ἅπαξ Ῥωμαίοις παρῄνει μαχέσασθαι καὶ ἢ περιγενέσθαι τε καὶ σωθήσεσθαι ἢ προτιμῆσαι θάνατον εὐκλεᾶ ζωῆς δυστυχοῦς. ταῦτα ὁ μὲν εἶπε, τὸ δὲ πλῆθος ἐπῄνεσε καὶ τῇ ἑξῆς θανατῶντες τοῖς Ῥωμαίοις προσπλέκονται, καὶ μέχρι πολλοῦ ποτὲ μὲν οἱ Ῥωμαῖοι περιεγένοντο τῶν Σκυθῶν, ποτὲ δὲ τῶν Ῥωμαίων οἱ βάρβαροι. ὡς δ' ἐφράσατο τὴν τοῦ τόπου στενοχωρίαν ὁ βασιλεὺς τοῖς ἐναντίοις εἶναι πρὸς λυσιτέλειαν, μὴ οἵων τε ὄντων τῶν Ῥωμαίων ἐπιέναι αὐτοῖς ἀθρόον, τοῖς στρατηγοῖς ὑπέθετο τὰ τάγματα πρὸς τὸ πεδίον ἠρέμα ὑπάγειν χωροῦντα κατὰ βραχύ. τοῦτο γενόμενον τοῖς βαρβάροις δειλίας τῶν Ῥωμαίων καὶ φυγῆς παρέσχετο δόκησιν· καὶ εἵποντο ἀλαλάξαντες. ὡς δὲ πρὸς εὐρύτερον πεδίον ἐγένοντο, σύνθημα τοῖς Ῥωμαίοις ὁ βασιλεὺς ἐπιστροφῆς δέδωκε, καὶ ἀναστρέψαντες προσβάλλουσι τοῖς βαρβάροις, καὶ γίνεται φρικώδης ὁ πόλεμος. ὁ βασιλεὺς δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρὸν μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων ἀποκλεῖσαι τὴν πρὸς τὴν πόλιν εἴσοδον τοῖς βαρβάροις ἐκπέπομφεν, ἡ δὲ μάχη μέχρι πολλοῦ ἰσόρροπος ἦν· λέγεται δὲ θειοτέρας ἐπικουρίας τότε τοὺς Ῥωμαίους τυχεῖν. θύελλα

Ромеите ги превзели, а обсадата на Доростол траяла повече дни, понеже варварите храбро се съпротивлявали.[1] Но понеже от честите сражения мнозина били ранени, а вече и хранителните им припаси се свършили, те започнали да падат духом. Светослав, като дочакал една безлунна и бурна нощ, качил на еднодръвки около две хиляди души, сам се качил на лодка заедно с тях и отишъл за храна. Като събрали храна, върнали се в Доростол. И русите, като видели някои ромейски помощни войници, пръснати покрай реката по различни причини, излезли от лодките и убили някои от тях. След това иезабелязано се върнали отново в Доростол. Това много разгневило императора; той бил ядосан на началниците на флотата и ги заплашил, че ще ги накаже със смърт, ако пак оставят варварите да преплуват незабелязано. Като обсаждал града цели 60 дни, без да може да го превземе, той решил да надвие с глад ония, които били вътре. И той обсадил града, като пазел старателно да не им се достави отникъде никаква храна. Варварите претърпявали поражение при честите си излизания. Когато започнал да ги мъчи и гладът и нямали надежда нито за снабдяване с храни, нито за помощ, едни мислели да избягат през нощта, други — да се предадат на ромеите и така да се върнат в своята страна, а трети предлагали нещо друго.

А Светослав ги поощрявал още веднъж да се сразят с ромеите и или да победят и да се спасят, или да предпочетат славна смърт пред окаян живот. Това казал той и войската му го одобрила и на следния ден, готови на смърт, почнали сражение с ромеите и дълго време ту ромеите надвивали скитите, ту варварите — ромеите. Но щом императорът съобразил, че тясното място е от полза за неприятелите, понеже ромеите не могли вкупом да ги нападнат, предложил на военачалниците да изведат постепенно отредите на полето, като отстъпват бавно. Това създало у варварите впечатление, че ромеите са изплашени и бягат. И те ги последвали с боен вик. Но щом дошли в по-широкото поле, императорът дал на ромеите знак за връщане и като се обърнали, нападнали варварите. Настанала страшна битка. Императорът изпратил магистър Варда Склир с неговите отреди да пресече достъпа на варварите в града. Сражението дълго било с равен успех. Казват, че ромеите тогава получили божия помощ. Защото вихрушката биела

[1] Обсадата на Силистра продължила около три месеца — от края на април до края на юли същата 971 (972) година. Срв. тук стр. 181, бел. 6 и посочената там литература.

γὰρ κατὰ πρόσωπον τοῖς Σκύθαις προσέβαλλε καί τις ἔφιππος ὡρᾶτο πολλοῖς τῶν Ῥωμαίων ὑπεραγωνιζόμενος καὶ συγκλονῶν τῶν βαρβάρων τὰς φάλαγγας. ἦν δὲ κατὰ τὴν ἡμέραν τῆς μάχης ἐκείνης ἡ τοῦ στρατηλάτου Θεοδώρου τοῦ περιωνύμου ἐν μάρτυσι τελουμένη μνήμη. τρέπονται οὖν οἱ Σκύθαι καὶ πρὸς τὴν πόλιν ὡρμήκεσαν· ἀλλ' ἦν ἐκείνη αὐτοῖς οὐκ εἰσιτητή· ἤδη γὰρ παρὰ τοῦ Σκληροῦ ἀπεκέκλειστο ἡ εἰς ταύτην εἰσέλευσις, καὶ λοιπὸν ἐπὶ τὰ ταύτης προάστεια διεσκίδναντο καὶ καταλαμβανόμενοι διεφθείροντο καὶ ὑπ' ἀλλήλων ἀπώλλυντο συνωθούμενοί τε καὶ συμπατούμενοι, ὡς δυσαρίθμους τοὺς ἀνῃρημένους εἶναι. οἱ δὲ περιλειφθέντες τραυματίαι γεγόνασι ξύμπαντες. ἐγνώσθη δὲ ὅτι ὁ στρατηλάτης Θεόδωρος ἦν, ὃς τοῖς Ῥωμαίοις τότε κατὰ τῶν βαρβάρων ἐπεκούρησέ τε καὶ συνεμάχησεν, ἐντεῦθεν· γύναιόν τι εὐλαβείᾳ συνεζηκὸς καὶ σεμνότητι κατὰ τὸ Βυζάντιον μιᾷ πρὸ τῆς μάχης ταύτης ἡμέρᾳ ἔδοξε καθ' ὕπνους τὴν ἁγίαν θεοτόκον ὁρᾶν προϊοῦσαν καὶ προπεμπομένην ὑπὸ πολλῶν, ἀκοῦσαί τε τῆς θεομήτορος λεγούσης πρὸς ἕνα τῶν προϊόντων αὐτῆς „κύριε Θεόδωρε, ὁ ἐμὸς καὶ σὸς Ἰωάννης ἀγῶνας ἔχει βαρεῖς· σπεῦσον οὖν, αὐτῷ ἐπικούρησον.“ ἐξέφηνεν οὖν τισιν ἡ γυνὴ τὸ ἐνύπνιον. οἱ δὲ τὴν ἡμέραν ἐσημειώσαντο, καὶ ἦν ἡ πρὸ τῆς τελευταίας μάχης. τὸν μάρτυρα δ' ὁ βασιλεὺς τῆς βοηθείας ἀνταμειβόμενος ναὸν αὐτῷ κατὰ τὴν Εὐχάνειαν ἢ Εὐχάϊτα περικαλλῆ ἐδομήσατο, τὸν πρὶν καταβαλών, ἐν ᾧ τὸ πολύαθλον ἐκείνου σῶμα κατέθετο, καὶ τὴν πόλιν ἀντὶ τῆς προτέρας αὐτῆς κλήσεως Θεοδωρόπολιν ἐπωνόμασεν. ὁ δὲ βάρβαρος Σφενδοσθλάβος πάντοθεν ἀπογνοὺς διεπρεσβεύσατο πρὸς τὸν βασιλέα, συγγνώμην αἰτῶν καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν ἐξαιτούμενος καὶ τοῖς συμμάχοις Ῥωμαίων συντάττεσθαι καὶ τὸν βουλόμενον Σκύθην ἰέναι πρὸς τὰ Ῥωμαίων ἤθη καὶ ἐν αὐτοῖς ἐμπορεύεσθαι. καὶ ὁ βασιλεὺς τὰς αἰτήσεις προσήκατο καὶ πάσας ἐπλήρωσεν· εἶτα καὶ αὐτὸς ὁ Σφενδοσθλάβος ἀφίκετο πρὸς τὸν αὐτοκράτορα καὶ αὐτῷ συνωμίλησεν ἠτήσατό τε τοῖς Πατζινάκαις δηλῶσαι μὴ κωλῦσαι τοῖς Ῥῶς οἴκαδε ἀπιοῦσι διὰ τῆς σφετέρας χώρας τὴν δίοδον. καὶ ὁ βασιλεὺς τοῦτό τε ἐκείνους ποιῆσαι ἠξίωσε καὶ συμμάχους ἔχειν αὐτούς, μηδὲ διαβαίνειν τὸν Ἴστρον καὶ τὴν Βουλγαρίαν ληίζεσθαι. οἱ δὲ τοῖς μὲν ἄλλοις συνέθεντο, πρὸς δὲ τὴν δίοδον τῶν Ῥῶς ἀπηγόρευσαν.

Τοιούτῳ δὲ τέλει τοῦ πρὸς τοὺς Ῥῶς πολέμου καταλυθέντος ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε καὶ ὑπεδέχθη λαμπρῶς ὑφ' ὅλου τοῦ πολιτεύματος. ὅ τε γὰρ πατριάρχης προϋπηντήκει αὐτῷ μετὰ τοῦ κλήρου παντὸς καὶ οἱ τῆς γερουσίας καὶ

скитите в лицето и мнозина видели един конник, който се биел на страната на ромеите и разбъркал строя на скитите. В деня на онази битка бил празникът на прочутия между мъчениците Теодор Стратилат. Прочее скитите били разбити и се спуснали към града. Но не могли да влязат в него. Защото достъпът към града бил препречен от Склир. След това те се пръснали из предградията и загивали, като били залавяни, или пък гинели, като се тъпчели и блъскали едни други, та мъчно могъл да се установи броят на убитите. А всички останали били ранени. По-късно се разбрало, че това бил Теодор Стратилат, който тогава дал помощ и подкрепа на ромеите срещу варварите. Защото някаква благочестива и скромна жена в Цариград един ден преди това сражение видяла на сън света Богородица, вървяща напред и съпровождана от мнозина, и чула, че богомайката казала на един от тия, които вървели пред нея: „Господин Теодоре, моят и твоят Йоан[1] понася тежки изпитания. Прочее побързай да му помогнеш!“ И тъй жената разказала съня си на няколко души. А те отбелязали деня и той бил денят преди последното сражение. Императорът, за да се отблагодари за помощта на мъченика, му построил прекрасен храм в Евханея или Евхаита, като съборил предишния. В него положил изстрадалото му тяло, а градът нарекъл вместо с предишното му име Теодорopол. А варваринът Светослав, като се отчаял напълно, изпратил пратеници при императора, като молел милост и искал да се завърне в страната си, също така да бъде считан между ромейските съюзници и желаещите скити да могат да идват и да търгуват в ромейските предели. Императорът приел исканията му и всичките ги изпълнил.[2] След това и самият Светослав отишъл при императора, за да говори с него, и го помолил да съобщи на печенегите да не пречат на отиващите в отечеството си руси да преминат през страната им. Императорът известил на печенегите да сторят това и да му бъдат съюзници, нито да минават Дунава и да плячкосват България. А те се съгласили с всичко друго, но отказали да пуснат русите да преминат.

След като войната срещу русите завършила с такъв край, императорът се завърнал в Цариград и бил посрещнат тържествено от целия град. И тъй патриархът[3] излязъл напред да го посрещне с целия клир и сената

[1] Подразбира се император Йоан Цимисхий. [2] С този договор се потвърждавали правата на руските търговци във Византия. Вж. *Острогорски*, Историја Византије, стр. 282 и посочената там литература. [3] Цариградският патриарх Василий I (970—974).

οἱ τοῦ δήμου στεφάνους προσάγοντες καὶ τέθριππον ἅρμα (οἱ δὲ ἵπποι τούτου λευκοί) ἐδέοντό τε τοῦ ἅρματος ἐπιβεβηκότα τελέσαι τὸν θρίαμβον. ὁ δὲ τοὺς μὲν στεφάνους ἐδέξατο ἵππῳ τε κέλητι καὶ τούτῳ λευκῷ ἐθριάμβευσε, τῷ δέ γε τεθρίππῳ τὰς βασιλικὰς στολὰς τῶν Βουλγάρων βασιλέων ἐπέθετο καὶ τούτων ἄνωθεν εἰκόνα τῆς θεομήτορος, καὶ προήει τὸ ἅρμα. κατὰ δὲ τὴν Πλακωτὴν λεγομένην γενόμενος ἀγορὰν ἀπέδυσε τὸν Βορίσην τὰ τῆς παρὰ τοῖς Βουλγάροις βασιλείας παράσημα καὶ τῷ τῶν μαγίστρων ἐτίμησεν ἀξιώματι. ὁ μέντοι Σφενδοσθλάβος μετὰ τῶν Ῥῶς ἐπ' οἴκου ἀναζευγνὺς λόχοις περιπίπτει τῶν Πατζινάκων, καὶ πάντες ἀθρόοι ἀπώλοντο (pp. 527_5—536_5).

и народа, като носели със себе си венци и водели колесница с четири коня — конете ѝ били бели; те го молели да се качи на колесницата и да отпразнува триумфа. Той приел венците, но триумфирал върху пъргав, също бял кон, а на колесницата сложил царските одежди на българските царе и върху тях иконата на божията майка и вървял пред колесницата. А когато стигнал до площада Плакот[1], той свалил от Борис знаците на българската царска власт и го почел със сан магистър. А Светослав, като се връщал с русите в отечеството си, попаднал на засада от [страна на] печенегите и всички вкупом загинали.

41. *Basilius a Bulgaris clades accipit*

Τὰ δὲ Βουλγάρων αὖθις κεκίνητο· ὡς γὰρ ἡ τοῦ Τζιμισκῆ κατήγγελτο τελευτή, τέσσαρσιν ἀδελφοῖς ἀνατιθέασι τὴν σφετέραν ἀρχήν, Δαβίδ, Μωυσῇ, Ἀαρών τε καὶ Σαμουήλ, οἳ κομητόπωλοι ὠνομάζοντο, ὅτι υἱοὶ γεγόνασιν ἑνὸς τῶν παρ' αὐτοῖς ἐπισήμων καὶ λεγομένων κομήτων. οἱ γὰρ ἐκ τοῦ βασιλείου γένους σφίσιν ἐπιλελοίπασι, μόνου περιλειφθέντος ἑνὸς τῶν παίδων τοῦ Πέτρου, φημὶ δῆτα τοῦ Ῥωμανοῦ, ὃς ἐκτομίας ἦν, τῶν δὲ τεσσάρων συγγόνων τῶν κομητοπώλων ὁ μὲν Δαβὶδ τάχιστα τὴν ζωὴν ἐξεμέτρησεν, ὁ δέ γε Μωυσῆς τὰς Σέρρας πολιορκῶν λίθῳ βάλλεται καὶ θνήσκει εὐθύς. τὸν δ' Ἀαρὼν παγγενῆ τοῦ βίου ἐξήγαγεν ὁ ἀδελφὸς Σαμουήλ, ἢ τὴν ἀρχὴν ἑαυτῷ μόνῳ περιποιούμενον ἢ τὰ Ῥωμαίων αἱρούμενον (λέγεται γὰρ καὶ ἀμφότερα), ἑνὸς μόνου τῶν παίδων ἐκείνου περισωθέντος, ὃς Σφενδοσθλάβος καὶ Ἰωάννης διωνύμως ἐκέκλητο. καὶ ἡ τῆς Βουλγαρίας ἀρχὴ εἰς μόνον περιέστη τὸν Σαμουήλ, ὃς τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς ἐμφυλίοις ἀσχολουμένων ἄδειαν εὑρηκὼς τὰ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἑσπέρια ξύμπαντα περιῄει, οὐ ληιζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα καὶ τὰς πόλεις περιποιούμενος ἑαυτῷ. ἐπεὶ δέ, ὡς ἱστόρηται, τὴν τοῦ Σκληροῦ τυραννίδα ὁ βασιλεὺς ἀπεσείσατο, ὤργα πρὸς ἄμυναν τοῦ βαρβάρου

41. *Василий II търпи поражение от българите*

А в България пък започнало брожение. Защото, щом станало известно за смъртта на Цимисхий, българите предали властта на четирима братя[2] — Давид, Мойсей, Арон и Самуил, — които се наричали комитопули, понеже били синове на един от техните знатни комити. Прочее царският им род се прекратил, като останал само един от синовете на Петър — говоря именно за Роман, който бил скопец. А от тези четирима синове комитопули Давид най-рано завършил живота си,[3] Мойсей бил ударен с камък при обсадата на Сяр[4] и умрял веднага, Арон заедно с целия си род бил погубен от брат си Самуил, било защото той искал сам да обсеби властта, било защото съчувствувал на ромеите, защото се разказва и едното, и другото.[5] Само един от синовете му оцелял, който носел две имена — Светослав и Йоан.[6] И властта на България останала само на Самуил. Докато ромейските войски били заети в междуособни войни,[7] той без страх обхождал всички западни области на ромейската държава и не само ги плячкосвал, но си присвоявал и областите заедно с градовете. А когато императорът, както се разказва, отбил домогването на Склир до властта, той бил обхванат от силно желание да отмъсти на варварина[8] и решил сам той да излезе на

---

[1] Плакот (*Πλακωτὸν*) се наричал форумът, построен от Константин I, който се намирал в центъра на стария град, близо до Хиподрома. Срв. *Janin*, op. cit., pp. 67—68; 380. [2] Както се вижда от текста, събитията се отнасят към началото на 976 г., когато Йоан Цимисхий починал. [3] Давид бил убит през 976 г. от скитници власи в местността Хубави дъбове между Костур и Преспа. Срв. *Златарски*, История, I, 2, стр. 644—646. [4] Мойсей бил убит при обсадата на Сяр около 976—977 г. Срв. *Златарски*, История, I, 2, стр. 644. [5] Арон бил убит на 14 юни 987 г. в местността Разметаница, близо до днешната рекичка със същото име, десен приток на р. Джерман, Дупнишко. Срв. *Златарски*, История, I, 2, стр. 678; *Петров*, пос. съч., стр. 180, отнася смъртта на Арон към 976 г. [6] Авторът тук предава погрешно името на бъдещия цар Иван Владислав. [7] Имат се пред вид неколкократните опити на малоазийските динати Варда Фока и Варда Склир да свалят Василий II от престола. Междуособиците продължили около десет години (976—986). Срв. *Острогорски*, Историја Византије, стр. 284—286. [8] Т. е. Самуил.

καὶ δι' ἑαυτοῦ ἔδοξεν αὐτῷ τὴν ἐκστρατείαν ποιήσασθαι. ἔξεισιν οὖν μήτε τῷ μαγίστρῳ Βάρδᾳ τῷ Φωκᾷ, καίτοι δομεστίκῳ ὄντι τῶν σχολῶν τῆς ἀνατολῆς, περὶ τῆς πράξεως κοινωσάμενος μήτε μὴν ἑτέρῳ τῶν ἑῴων στραταρχούντων δυνάμεων. ἤδη δὲ πρὸς τὰ Βουλγάρων εἰσιὼν τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν ἐκέλευσεν εἶναι καὶ τὰς δυσχωρίας τηρεῖν· αὐτὸς δ' εἰσελθὼν τῇ πολιορκίᾳ τῆς Σαρδικῆς (αὕτη δ' ἐστὶν ἡ Τριάδιτζα) ἐπιχειρεῖν ἡτοιμάζετο. τῶν δυτικῶν δὲ ταγμάτων δομέστικος ὢν ὁ Κοντοστέφανος Στέφανος καὶ λογισάμενος ὡς εἰ εὐτυχηθείη τὰ τῆς στρατείας τῷ βασιλεῖ, οὐκ ἂν ποτε παύσαιτο δι' ἑαυτοῦ τοὺς πολέμους διατιθέμενος, καὶ οὔτ' αὐτὸς οὔθ' οἱ λοιποὶ στρατιάρχαι ἔτι αὐτῷ λόγου πολλοῦ νομισθήσονται ἄξιοι, σφῆλαί οἱ διεμελέτησε τὴν ἐπιχείρησιν καὶ τὴν ὁρμὴν ἀνακόψαι. προσελθὼν οὖν φησι τὸν Μελισσηνὸν τυραννίδι ἐπιχειρεῖν καὶ ἀπιέναι σὺν ταχύτητι πρὸς τὸ Βυζάντιον τὴν βασιλείαν καθέξοντα· καὶ ἠξίου μὴ μέλλειν, ἀναζευγνύειν δὲ καὶ μὴ ὑπερτίθεσθαι. τοῦτο τὸν βασιλέα ἐτάραξε καὶ ἐπάνοδον ἐσήμανε τῷ λαῷ. ὁ δέ γε Σαμουὴλ ταῖς τῶν ὀρέων ἐμφιλοχωρῶν κορυφαῖς (οὐ γὰρ ἐθάρρει κατὰ συστάδην μαχέσασθαι) καὶ τὴν ἀθρόαν ἀναζυγὴν ἰδὼν δειλίαν ἔκρινε τὸ πραττόμενον καὶ ἔπεισι τοῖς Ῥωμαίοις καὶ τῷ ἀνελπίστῳ ἅπαντας κατεθρόησε καὶ εἰς φυγὴν ἔτρεψε· καὶ τῆς τε παρεμβολῆς ἐκράτησε καὶ τῆς σκηνῆς τῆς βασιλικῆς καὶ τῶν παρασήμων τῆς βασιλείας. ὁ δὲ βασιλεὺς μόλις εἰς Φιλιππούπολιν διασέσωστο κἀκεῖ τὸν Μελισσηνὸν εὑρηκὼς κατὰ τοῦ Κοντοστεφάνου ἐξώργιστο καὶ ὕβρεις κατέχεε τοῦ ἀνδρός. ὁ δὲ δυσανασχετῶν ἐτραχύνετο, καὶ ἀναζέσας ὁ βασιλεὺς τῷ θυμῷ ἀνέθορέ τε τοῦ θρόνου καὶ τῆς κόμης τοῦ Κοντοστεφάνου δραξάμενος καὶ τοῦ πώγωνος προσήραξε τὸν ἄνδρα τῇ γῇ (pp. 547_5—549_{18}).

поход срещу него. И тъй той тръгнал, без да съобщи нищо от тези работи нито на магистър Варда Фока, при все че той бил доместик на схолите на Изтока, нито на някой друг от военачалниците на източните войски. Когато вече навлизал в България, заповядал на магистър Лъв Мелисин да остане назад и да пази мъчнопроходимите места.[1] А сам той, като пристигнал, започнал да се приготовлява за обсадата на Сердика, т. е. Триадица.[2] Доместик на западните войски бил Стефан Кондостефан, който размислил, че ако походът на императора сполучи, сам никога не би прекратил войните и нито той, нито останалите военачалници ще бъдат удостоени от него с голямо уважение, и се постарал да провали начинанието му и да пресече устрема му. И тъй той отишъл при него и му казал, че Мелисин прави опит за узурпация и заминава с голяма бързина за Цариград, за да завземе властта. И го предупредил да не се бави, но да потегли назад, без да отлага. Това разтревожило императора и той дал знак на войската за връщане. А Самуил се настанил по върховете на планините, защото не се осмелявал да се сражава отблизо, и като видял неочакваното отстъпление, решил, че го правят от страх, и настъпил срещу ромеите. След като ги изплашил всички, обърнал ги в бягство. Той овладял и лагера, и императорската палатка, и знаците на императорската власт.[3] Императорът едва се спасил във Филипопол и като заварил там Мелисин, бил обхванат от гняв срещу Кондостефан и го обсипал с ругатни. А онзи не могъл да ги понесе и се разсърдил и тогава императорът кипнал от гняв, скочил от трона, хванал Кондостефан за косата и брадата и го тръшнал на земята.

42. Samuel imperium Romanum bello aggreditur

Ὁ δὲ βασιλεὺς τὰς τῶν ἀποστασιῶν φροντίδας ἀποφορτισάμενος ἐπὶ τὴν Θρᾴκην ἐξῄει καὶ εἰς Θεσσαλονίκην ἐφοίτησε, τῷ περιωνύμῳ μάρτυρι ἀνθομολογούμενος. καταλείψας δ' ἐκεῖ στρατάρχην τῶν ἐπισήμων μετὰ βαρείας δυνάμεως, ἵνα κωλύῃ τὰς τοῦ Σαμουὴλ ἐκδρομάς, ἐπάνεισι πρὸς τὴν Βύζαντος... (p. 557_{7-12}).

42. Самуил напада Византия

Императорът, облекчен от грижи около въстаниците, заминал за Тракия и отишъл в Солун,[4] за да отдаде благодарност на прочутия мъченик[5]. Като оставил там за военачалник един от знатните[6] с голяма войска, за да спира нападенията на Самуил, той се върнал в Цариград...

---

[1] Подразбира се проходът Траянови врата при Ихтиман. [2] Походът на Василий II (976—1025) срещу София се отнася към лятото на 986 г. Срв. *Златарски*, История, I, 2, стр. 678. [3] Поражението на византийската войска при Траянови врата станало на 17 август 986 г. [4] Събитията се отнасят към края на 989 или началото на 990 г. Срв. *Златарски*, История, I, 2, стр. 685. [5] Св. Димитър Солунски, почитан като покровител на Солун. [6] Василий II назначил за стратег на Солун арменеца магистър Григорий Таронит.

43. De bello a Basilio cum Samuel gesto

Τοῦ Σαμουὴλ δὲ τοῦ τῶν Βουλγάρων ἐξάρχοντος οὐ τὰ Θρᾳκῶν οὐδὲ τὰ κατὰ Μακεδονίαν μόνα ληιζομένου, ἀλλὰ καὶ τὴν Ἑλλάδα καὶ αὐτὴν δέ γε τὴν Πελοπόννησον, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ἐκπέμπει ὁ βασιλεύς, τῆς δύσεως ἄρχοντα, ὃς παρὰ τῷ Σπερχειῷ ποταμῷ τοῦ Σομουὴλ κατεσκηνωμένου παρὰ τῇ ἀντικρὺς ἠπείρῳ ηὐλίσατο. ὅτι δ᾽ ὗσε τότε πολλὰ καὶ ὁ ποταμὸς ἐντεῦθεν ἄπλωτος ἦν, ἀνέλπιστος ἐδόκει τῷ Σαμουὴλ ἡ τῶν Ῥωμαίων ἐπέλευσις. ὁ Οὐρανὸς δὲ νυκτὸς ἀνερευνήσας καὶ κατά τινά τόπον βατὸν κατανοήσας τὸν ποταμόν, διαβαίνει τοῦτον ἡσύχως μετὰ τῆς στρατιᾶς καὶ ἀφροντιστοῦσιν ἐμβάλλει τοῖς περὶ τὸν Σαμουήλ. καὶ τῷ ἀδοκήτῳ καταπλαγέντες οἱ βάρβαροι ἔπιπτον μηδὲ χεῖρας ἀνταίροντες, καὶ τῷ Σαμουὴλ δὲ καὶ τῷ ἐκείνου υἱῷ Ῥωμανῷ πληγαὶ ἐπηνέχθησαν, καὶ ἑάλωσαν ἄν, εἰ μὴ τοῖς νεκροῖς συνανεμίχθησαν σώμασι, καὶ οὕτω λαθόντες διέφυγον.

Εἶτα καὶ ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ τῶν Βουλγάρων καὶ τῶν ἐν Σαρδικῇ φρουρίων καταστρεψάμενος ἔνια ἐπανῆλθεν εἰς Μοσυνούπολιν. εἷλε δὲ καὶ τὴν μεγάλην Περσθλάβαν καὶ τὴν μικρὰν καὶ τὴν Πλίσκοβαν διὰ στρατηγῶν. καὶ ἡ Βέρροια δὲ παρεδόθη αὐτῷ παρὰ τοῦ Δοβρομηροῦ, προσχωρήσαντος τοῖς Ῥωμαίοις. τὰ μέντοι Σέρβια πολιορκίᾳ ἑάλω καὶ ὁ τὴν αὐτῶν φυλακὴν ἐμπεπιστευμένος Νικόλαος, ὃν Νικολιτζᾶν ὡς βραχὺν τὴν ἡλικίαν ὠνόμαζον· ὃς καίτοι πατρίκιος τιμηθεὶς ἀπέδρα πάλιν καὶ πρὸς τὸν Σαμουὴλ ἀπελήλυθεν. εἶτ᾽ αὖθις κατὰ Βιδίνης ὁ βασιλεὺς ἐξεστράτευσε καὶ τὴν πόλιν αἱρεῖ. ἐν ὅσῳ δὲ ταύτην ἐπολιόρκει ὁ βασιλεύς, ἔπεισιν ὁ Σαμουὴλ τῇ Ἀδριανουπόλει ἀθρόον καὶ πανηγύρεως ἐκτὸς τελουμένης τάς τε ἐμπορίας λείαν πεποίητο καὶ αἰχμαλώτων πλῆθος λαβὼν ὑπενόστησε. τὴν Βιδίνην δὲ ὑφ᾽ ἑαυτὸν ὁ βασιλεὺς ποιησάμενος καὶ ἐπανερχόμενος κατέλαβε παρὰ τῷ Ἀξιῷ ποταμῷ τὸν Σαμουὴλ αὐλιζόμενον· ὁ Βαρδάριος οὕτως παρὰ τοῖς παλαιοῖς ὠνομάζετο. πολλοῦ δὲ τοῦ ποταμοῦ ῥέοντος ἀμελῶς οἱ βάρβαροι κατεσκήνωντο· οὐ γὰρ ἄν ποτε δυνηθῆναι διαβῆναι τὸν ποταμὸν ἤλπιζον τὸ Ῥωμαϊκὸν σύνταγμα. πόρου δὲ γνωσθέντος δι᾽ αὐτοῦ ὁ βασιλεὺς διέβη καὶ τὸ στρατόπεδον, καὶ πολλοὶ μὲν τῶν Βουλγάρων ἀπώλοντο, ὁ δὲ Σαμουὴλ διέδρα, τῆς τούτου σκηνῆς καὶ τῆς παρεμβολῆς ἁπάσης διαρπαγείσης. καὶ τὴν

43. Война между Василий II и Самуил

Предводителят на българите[1] плячкосвал не само земите на Тракия и Македония, но и Елада и самия Пелопонес.[2] А императорът изпратил началника на Запада, магистър Никифор Уран, и понеже Самуил разположил стана си покрай реката Сперхей[3], той се настанил на отсрещния бряг. Тъй като тогава валял силен дъжд и реката не можела да се преплува, Самуил не очаквал нападение на ромеите. Но Уран през нощта подирил и като намерил на едно място брод на реката, преминал я тихо заедно с войската, нападнал войската на Самуил, която нищо не подозирала. Варварите, смаяни от неочаквания удар, падали, без дори ръце да вдигнат. Били нанесени удари и на Самуил, и на неговия син Роман и те щели да бъдат пленени, ако не се били смесили с труповете на убитите и така тайно избягали.[4]

След това императорът тръгнал на поход срещу българите и като разрушил някои укрепления в Сердика, се върнал в Мосинопол[5]. Той превзел чрез военачалници и Велики, и Мали Преслав, и Плиска. Била му предадена Верия[6] от Добромир, който минал на страната на ромеите. Била превзета с обсада и Сервия[7] и бил заловен онзи, на когото била поверена нейната стража — Никола — и когото поради късия ръст наричали Никулица. При все че бил почетен със сан патриций, той пак избягал и отишъл при Самуил. След това отново императорът тръгнал на поход срещу Видин и превзел града.[8] Но докато го обсаждал, Самуил внезапно нападнал Одрин и понеже вън от града имало панаир, той плячкосал изложените за продан неща и като взел много пленници, се върнал.[9] Императорът подчинил под своята власт Видин и на връщане настигнал Самуил, който станувал край река Аксий. Тази река се нарича от древните Вардар. Понеже реката била пълноводна, варварите безгрижно станували. Защото те никак не се надявали, че ромейската войска може да мине реката. Но бил открит брод, през който преминал и императорът, и войската. От българите загинали мнозина, а Самуил избягал и неговата палатка, както и целият

---

[1] Самуил. [2] Българските войски начело със Самуил през 996 г. опустошили Тесалия и Средна Гърция и стигнали чак до Пелопонес. Срв. *Златарски*, История, I, 2, 695—697. [3] Р. Сперхей — дн. Аламана, която се влива в Ламийския залив. [4] Самуил бил разбит при р. Сперхей при отстъпването си от Пелопонес през 996 г. Срв. *Златарски*, История, I, 2, стр. 715—717. [5] Мосинопол — дн. Гюмюрджина. [6] Верия — дн. Бер в Македония. [7] Сервия — дн. Селфидже. [8] Видин бил превзет от Василий II след продължителна обсада в 1003 г. [9] Самуил предприел поход срещу Одрин през август 1003 г., за да отклони вниманието на Василий II от Видин и да го накара да се оттегли. Срв. *Златарски*, История, I, 2, стр. 721—722.

πόλιν δὲ τῶν Σκοπίων ὁ βασιλεὺς παρειλήφει, δοθεῖσαν αὐτῷ παρὰ Ῥωμανοῦ τοῦ υἱοῦ Πέτρου τοῦ ἄρξαντος τῶν Βουλγάρων, ᾧ ἡ ταύτης φυλακὴ παρὰ τοῦ Σαμουὴλ ἐμπεπίστευτο (pp. 558_{12}—560_{18}).

44. Basilius Bulgariam devincit

Ὁ δὲ βασιλεὺς συνεχῶς τῇ Βουλγαρίᾳ προσβάλλων ἐκάκου ταύτην καὶ ἐκεράϊζε. μὴ δυνάμενος δέ γε ὁ Σαμουὴλ ἀντιπαρατάξασθαι τῷ τῶν Ῥωμαίων στρατεύματι τάφροις τὰς εἰσόδους ἀποκλεῖσαι αὐτῷ ἐπεχείρησε, τὰς δυσχωρίας ἀποφράξας οἰκοδομαῖς καὶ φύλακας ἐπιστήσας αὐταῖς. ἧκεν οὖν ὁ βασιλεὺς αὖθις καὶ ἐβιάσατο μὲν τὴν πάροδον, ἀπεκρούσθη δὲ τῶν φυλάκων ἀνθισταμένων ἐρρωμενέστερον· πλὴν οὐκ ἀπέστη τῆς ἐγχειρήσεως, ἀλλ' αὐτὸς μὲν προσέμενεν ἔτι περιώμενος τοῦ ἐρύματος, ἐκπέπομφε δὲ τῶν στρατηγῶν ἕνα μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος ἑτέρωθέν ποθεν, εἰ δύναιτο περιελθεῖν καὶ μηχανήσασθαί τι πρὸς τὴν διέλευσιν. ὁ δὲ δι' ὀρῶν καὶ δυσχωριῶν πολλῶν διελθὼν καὶ τοὺς Βουλγάρους λαθὼν ἐμπίπτει κατὰ νώτου τοῖς τοῦ ἐρύματος φύλαξιν, οἳ τῷ ἀθρόῳ περιδεεῖς γεγονότες οὐκέτι τῆς φυλακῆς ἐφρόντιζον τοῦ φραγμοῦ, ἀλλ' ὅπως αὐτοὶ τὸν ὄλεθρον φυλάξωνται περὶ πλείστου ἐτίθεντο. τότε δὴ ἀδείας τὸ Ῥωμαϊκὸν δραξάμενον στράτευμα ῥήγνυσι τὸν φραγμὸν καὶ δίεισι καὶ διώκει καὶ πολλοὺς μὲν ἀναιρεῖ, πλείονας δέ γε ζωγρεῖ μόλις διαδράντος τοῦ Σαμουήλ. ὅ γε μὴν βασιλεὺς τοῖς δορυαλώτοις εἰς πεντεκαίδεκα χιλιάδας ἀριθμουμένοις ἐξέκοψε πᾶσι τὰ ὄμματα, ἐφ' ἑκάστῃ ἑκατοστύϊ ἕνα καταλιπὼν ἑτερόφθαλμον, ἵν' εἴη τούτοις χειραγωγός, καὶ οὕτως αὐτοὺς ἀπιέναι κελεύει πρὸς τὸν σφέτερον ἀρχηγόν. οὓς ἐκεῖνος ἰδὼν καὶ τὸ πάθος μὴ ἐνεγκὼν ἰλλιγγιᾷ τε καὶ εἰς γῆν λειποθυμῶν καταβάλλεται, μικρὸν δέ τι ἀνενεγκὼν καρδιωγμῷ περιπίπτει καὶ θνήσκει. ἡ δὲ τῶν Βουλγάρων ἡγεμονία τῷ υἱῷ αὐτοῦ τῷ Γαβριὴλ τῷ καὶ Ῥωμανῷ περιῆλθεν, ὃν οὔπω ἐνιαυτὸν ἄρξαντα ὁ υἱὸς τοῦ πατραδέλφου αὐτοῦ Ἀαρὼν ὁ Βλαδισθλάβος καὶ Ἰωάννης (διώνυμος γὰρ καὶ οὗτος ἦν) ἀπέκτεινε. διελθὼν δὲ τὸ ἐν ταῖς δυσχωρίαις ἔρυμα ὁ αὐτοκράτωρ, ὡς εἴρηται, ἄλλα τε φρούρια ἐχειρώσατο ἐρυμνὰ καὶ τοὺς ἐν αὐτοῖς Βουλγάρους καὶ ἧκεν εἰς Μοσυνούπολιν, ὅπου αὐτῷ ἡ τοῦ Σαμουὴλ

стан били разграбени.[1] Императорът завзел и град Скопие, който му бил предаден от Роман, сина на българския владетел Петър.[2] Самуил бил поверил на него да пази този град.

44. Василий II покорява България

Императорът често нападал България, нанасял ѝ щети и я опустошавал. А Самуил, като не могъл да се противопостави на ромейската войска, опитал се с ровове да му препречи пътищата, а теснините преграждал с укрепления и поставял в тях стража. И тъй императорът отново дошъл и се опитал да навлезе със сила, но бил отблъснат от стражите, които храбро се съпротивявали. Обаче той не се отказал от опита си и останал там, за да овладее укреплението, а изпратил в друга посока един от военачалниците с подчинения му отред, ако може да заобиколи и да намери някакъв начин за нахлуване. А той, преминавайки през много планини и стръмнини, нападнал откъм гърба стражата на укреплението незабелязано от българите, които, уплашени от изненадата, вече не се погрижили за охраната на укреплението, но мислели само как да се спасят от гибел. Тогава ромейската войска без страх разкъсала оградата, преминала и започнала да преследва. Мнозина били избити, а още повече били заловени, а Самуил едва успял да избяга.[3] Императорът избол очите на всички пленници — на брой около петнадесет хиляди души, — като на всеки сто души оставил по един с едно око, за да ги предвожда, и им заповядал така да отидат при своя вожд.[4] Той, като ги видял и не могъл да понесе мъката, загубил съзнание и паднал безчувствен на земята, а малко като се съвзел, заболял от сърце и умрял.[5] Върховната власт над българите преминала върху сина му Гавраил Роман[6], който, без да е управлявал дори една година, бил убит от сина на чичо си Арон, Иван Владислав[7], който също имал две имена. И тъй императорът, като преминал, както казах, укреплението в теснините, превзел и много други укрепени селища заедно с българите, които били в тях, и отишъл в Мосинопол, където му било

[1] Събитията се отнасят към пролетта на 1004 г. [2] Синовете на цар Петър Борис и Роман избягали в България в края на 979 и началото на 980 г., обаче на българската граница Борис бил убит, а Роман бил отведен във Воден при Самуил. Роман бил признат за български цар, но фактически Самуил управлявал. Срв. *Златарски*, История, I, 2, стр. 657—658. [3] Става дума за голямото поражение на Самуил на 29 юли 1014 г. при с. Ключ в Беласица. Срв. *Златарски*, История, I, 2, стр. 736—739. [4] Броят на пленените и ослепени български войници от Василий II според Кекавмен възлизал на 14 хиляди. [5] Самуил умрял от сърдечен удар на 6 октомври 1014 г. [6] Българският цар Гавраил Радомир (1014—1015), известен и под името Гавраил Роман. [7] Българският цар Иван Владислав (1015—1018).

τελευτὴ ἀπηγγέλε. ἄρας οὖν αὐτίκα προσβάλλει τῇ Βουλγαρίᾳ καὶ πόλεις τε αὐτῆς αἱρεῖ καὶ φρούρια. ὁ δέ γε τοῦ Σαμουὴλ υἱὸς ὁ Ῥωμανός τε καὶ Γαβριὴλ (οὔπω γὰρ ἀνῄρητο) πέμψας πρὸς τὸν βασιλέα δούλωσιν ὑπισχνεῖται· μετὰ δέ τινα καιρὸν τοῦ τὸν Γαβριὴλ ἀνελόντος Ἰωάννου τοῦ Βλαδισθλάβου θεράπων ἀφίκετο, εὐαγγελιζόμενος τὴν ἀναίρεσιν τοῦ υἱοῦ τοῦ Σαμουὴλ καὶ γράμματα κομίζων ἐπαγγελλόμενα τῷ βασιλεῖ δούλωσιν, προσερρύησαν δὲ αὐτῷ καὶ πολλοὶ τῶν ἐπισήμων παρὰ Βουλγάροις. γνοὺς μέντοι τὸν Βλαδισθλάβον ὁ βασιλεὺς οὐ κατὰ τὰς ἐπαγγελίας διανοούμενον, ἐπῆλθεν αὖθις τῇ Βουλγαρίᾳ καὶ πολλὰς μὲν αὐτῆς ἐληίσατο χώρας, τὴν δὲ τῆς Ἀχρίδος πόλιν, ἐν ᾗ τὰ βασίλεια τοῖς τῶν Βουλγάρων ᾠκοδόμηντο ἀρχηγοῖς, πολιορκίᾳ λαβὼν καὶ ἕτερα φρούρια διὰ στρατηγῶν, ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου.

известено за смъртта на Самуил. След това веднага се вдигнал, нападнал България и превзел градове и крепости. А синът на Самуил Гавраил Роман, който още не бил убит, изпратил пратеници при императора и обещал да му се покори. А след известно време пристигнал служител на Иван Владислав, убиеца на Гавраил, който съобщавал за убийството на Самуиловия син и носел писмо, обещаващо подчинение на императора. На негова страна минали и мнозина от знатните българи. Но императорът, като разбрал, че Владислав няма намерение да изпълнява обещанието си, отново потеглил срещу България, плячкосал много от нейните земи, превзел с обсада град Охрид, в който се издигали дворците на българските царе, превзел с обсада и други крепости чрез свои военачалници и се върнал в Цариград.[1]

Καὶ αὖθις δὲ κατὰ Βουλγάρων ἐστράτευσε καὶ αὖθις φρούριά τε καὶ πολλοὺς τῶν βαρβάρων τοὺς μὲν διέφθειρε, τοὺς δὲ συνέσχε ζωούς. ὁ δὲ τῶν Βουλγάρων ἄρχων ὁ Ἰωάννης καὶ Βλαδισθλάβος κατὰ τοῦ Δυρραχίου ἐξώρμησε καὶ πολιορκῶν αὐτὸ πίπτει, ἄρξας ἔτη δύο καὶ μῆνας πέντε. ὃ μαθὼν ὁ βασιλεὺς εὐθὺς ἔξεισι καὶ περὶ τὴν Ἀδριανούπολιν γενομένῳ προσίασιν αὐτῷ τῶν Βουλγάρων ἐπιφανεῖς τινες, παραδιδόντες αὐτῷ τὸν Πέρνικον καὶ ἕτερα φρούρια πέντε καὶ τριάκοντα, καὶ ἄλλοι δὲ πολλοὶ τῶν βαρβάρων τούτων αὐτῷ προσερρύησαν. καὶ ἡ γυνὴ δὲ τοῦ Ἰωάννου καὶ Βλαδισθλάβου Μαρία ἔπεμψε πρὸς τὸν βασιλέα τὸν ἀρχιεπίσκοπον Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων ἐκστῆναι τῆς Βουλγαρίας ὑπισχνουμένη, εἰ ὧνπερ βούλεται τεύξεται. καὶ μετὰ μικρὸν ἧκεν ἡ γυνὴ πρὸς τὸν αὐτοκράτορα, υἱοὺς ἐπαγομένη τρεῖς καὶ θυγάτρια ἕξ· καὶ ἕτεροι δὲ τρεῖς τούτης υἱοὶ φυγάδες ἐγένοντο ἐν τοῖς ὄρεσιν, ἀλλὰ κἀκεῖνοι τῶν ὀρῶν φυλαττομένων βιασθέντες προσῆλθον τῷ βασιλεῖ· ἦσαν δὲ οὗτοι ὁ Προυσιάνος καὶ ἄμφω οἱ ἀδελφοὶ αὐτοῦ, ὧν τὸν μὲν Προυσιάνον ἐτίμησε μάγιστρον, πατρικίους δὲ τοὺς λοιπούς. ὑφ᾽ ἑαυτὸν οὖν τὴν ἅπασαν Βουλγαρίαν πεποιηκὼς καὶ τὰ μὲν τῶν φρουρίων καταστρεψάμενος, τὰ δὲ κατοχυρώσας καὶ φρουρὰς αὐτοῖς ἀρκούσας καταλιπών, αὐτὸς εἰς Ἀθήνας ἀφίκετο, θύσων τῇ θεοτόκῳ τὰ χαριστήρια· καὶ ἀναθέμενος τῷ ναῷ πολλὰ καὶ πολυτελῆ ἐπανέζευξεν εἰς τὴν ὑπερκειμένην τῶν πόλεων καὶ κατήγαγε θρίαμβον, τιάρᾳ ταινιωθεὶς ὀρθίᾳ (ἣν τοῦφαν καλεῖ ὁ δημώδης καὶ πολὺς ἄνθρωπος, τύφον,

И отново императорът потеглил на поход срещу българите, разрушил пак крепости и погубил мнозина от варварите, а други живи заловил. А царят на българите Иван Владислав се отправил срещу Драч и загинал при обсадата на тоя град, като управлявал две години и пет месеца.[2] Щом научил това, императорът потеглил и когато стигнал до Одрин, при него дошли някои видни хора от българите и му предали Перник и други тридесет и пет крепости и мнозина от тия варвари преминали на негова страна.[3] А съпругата на Иван Владислав Мария изпратила при императора българския архиепископ Давид с писмо, като обещавала да се откаже от България, ако получи онова, което желае.[4] И след късо време жената пристигнала при императора, като водела тримата си сина и шестте си дъщери. Другите ѝ трима сина[5] забягнали в планините, но след като планините били завзети от войници, и те били принудени да отидат при императора. А те бяха Прусиан и неговите братя; от тях той почел Прусиан с чин магистър, а останалите — с чин патриций. След като подчинил цяла България и разрушил едни от крепостите, а другите подсилил и им оставил достатъчно охрана, самият той пристигнал в Атина, за да отслужи благодарствен молебен на божията майка. И след като оставил в храма много и твърде ценни дарове, завърнал се в столицата и отпразнувал триумф, увенчан с тиара (тя се нарича в ежедневния говор туфа — според

[1] Събитията се отнасят към края на 1015 и началото на 1016 г. Срв. *Златарски*, История, I, 2, стр. 755—759. [2] Обсадата на Драч и смъртта на Иван Владислав се отнасят към началото на 1018 г. [3] Василий II пристигнал в Одрин през март 1018 г. При него се явили български боляри, които му засвидетелствували своята покорност. Срв. *Златарски*, История, I, 2, стр. 775. [4] Архиепископ Давид занесъл на Василий II писмото за капитулацията. Той се намирал тогава в гр. Струмица. Срв. *Златарски*, История, I. 2, стр. 776. [5] Става дума за Пресиан, Алусиан и Арон, които избягали в пл. Тмор (Албания), понеже не искали да се покорят на Византия.

οἶμαι ὠνομασμένην, ὡς τετυφῶσθαι ποιοῦσαν τοὺς ταύτῃ ἀναδουμένους) καὶ οὕτως ἄχρι τῆς τοῦ θεοῦ λόγου Σοφίας ἀφίκετο, ἀποδοὺς ἐν ταύτῃ τῷ κυρίῳ τὰ χαριστήρια. ἔνθα γενόμενον ὁ πατριάρχης πολλὰ ἱκετεύσας ἐκκόψαι τὸ ἀλληλέγγυον οὐ κατεδυσώπησε, καὶ ταῦτα ὑποσχόμενον τοῦτο ποιήσειν, εἰ τῶν Βουλγάρων κρατήσειεν· οὗτος ὁ πατριάρχης Σέργιος τὴν ἐκκλησίαν ἐπὶ εἴκοσι ποιμάνας ἔτη, μετέθετο τὴν ζωήν, καὶ προεχειρίσθη τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας ἀρχιερεὺς Εὐστάθιος, ὃς τοῦ ἐν τῷ παλατίῳ ναοῦ ἱερέων ἐπρώτευε.

Τῆς Βουλγαρίας δὲ δουλωθείσης τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ καὶ τὰ τῶν Χορβάτων ἔθνη ὑπέκυψαν, ἀλλὰ μὴν καὶ τὸ Σίρμιον (pp. 563_3—567_{12}).

мене тя е наречена „тюфа“, тъй като заслепява онези, които я слагат). Така той пристигнал в божия храм София и там въздал благодарност на господа. Патриархът успял да го убеди да премахне алиленгия и той обещал да стори това, ако победи българите. Този патриарх Сергий, който управлявал църквата двадесет години, завършил живота си и вместо него бил избран за патриарх на цариградската църква Евстатий, първият йерей на дворцовата църква.

След като България била подчинена на ромейската власт, той покорил и хърватските племена, а също и Сирмий.[1]

45. Patzinacae regiones Bulgaras devastant

Τὰ δ᾽ ἐκτὸς συμπεσόντα διεξίτω ὁ λόγος. οἱ Πατζινάκαι, Σκύθαι δ᾽ οὗτοι ὡς ἔμπροσθεν εἴρηται, διαβάντες τὸν Ἴστρον τῇ χώρᾳ τῆς Βουλγαρίας οὐ μικρῶς ἐλυμήναντο. ἀλλὰ τούτοις ἀντεπελθὼν Κωνσταντῖνος ὁ Διογένης ὁ τοῦ Σιρμίου κρατῶν, ὃς καὶ δοὺξ ὠνομάσθη τῆς Βουλγαρίας, ἐτρέψατό τε αὐτοὺς καὶ ἠρεμεῖν ἠνάγκασε τὸν Ἴστρον διαπεράσαντας. τοῦ βασιλέως δὲ Βασιλείου θανόντος δύο ἐνιαυτῶν ἦσαν φόροι ἀνείσπρακτοι (ἐδίδου γὰρ ἐκεῖνος ὑπέρθεσιν ταῖς εἰσπράξεσι, φειδόμενος τῶν ὑποτελῶν)· οὗτος δὲ καὶ τὰ τῶν παρελθόντων ἐνιαυτῶν καὶ τὰ τῶν ἐφ᾽ οἷς αὐτὸς ἦρξε τριῶν ὄντων ἀσυμπαθῶς εἰσεπράξατο, καὶ ταῦτα αὐχμοῦ συμβάντος πολλοῦ ἐφ᾽ ὅλῳ τῷ χρόνῳ τῆς βασιλείας αὐτοῦ· ὅθεν οἱ πένητες ἐξετρίβησαν (pp. 571_9—572_2).

45. Печенеги опустошават българските земи

Нека разкажем сега за онова, което ставало навън. Печенегите, които по-рано нарекохме скити, като преминали Дунава, немалко опустошавали българската земя. Но Константин Диоген, владетелят на Сирмий, който бил наречен и дук на България, излязъл срещу тях, разбил ги и ги накарал да мируват, като се върнат оттатък Дунава.[2] След като император Василий умрял, останали несъбрани данъци за две години, защото той им позволявал да отлагат плащането на данъците, като щадял своите поданици. А този император[3] безпощадно събирал и данъците за изминалите години, при все че имало голяма суша през цялото време на неговото управление. От това бедните били съвсем съсипани за трите години, през които той управлявал.

46. De Prusiano magistro origine bulgaro

καὶ χρημάτων πολλῶν διάδοσιν ἐποιήσατο ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ πενθεροῦ αὐτοῦ καὶ αἰχμαλώτους πλείστους ἐπρίατο, καὶ ὅσοι τῶν ἐπισκόπων ἐκ τοῦ ἀλληλεγγύου φορολογήματος εἰς ἔνδειαν συνεληλύθεισαν, παρ᾽ αὐτοῦ ἀνεκτήθησαν, καὶ τοὺς κακωθέντας παρὰ τοῦ τελευτήσαντος βασιλέως ἢ ἐν πηρώσεσι μελῶν ἢ ἐν δημεύσεσιν οὐσιῶν ἢ ἀλλοίως παρεμυθήσατο. ὑποπτευθεὶς δὲ ὁ μάγιστρος

46. За магистър Прусиан Българина

Той[4] раздал много пари за своя тъст император Константин[5] и откупил много пленници, а които от епископите изпаднали в нужда поради изплащане на алиленгия[6], помогнал им да се съвземат. Той утешил и ония, които пострадали от покойния император, като били подложени или на членовредителство, или на конфискация на имотите, или по друг начин били пострадали. Но ма-

[1] Най-продължителна съпротива оказал гр. Срем, който бил превзет с хитрост през есента на 1018 г. Срв. *Златарски*, История, I, 2, стр. 787—788; *Ив. Дуйчев*, Последният защитник на Срем, 1018, ИИИ, VIII (1960), стр. 309—320. [2] Това нападение на печенегите на юг от Дунава се отнася към 1026 г. Срв. *Златарски*, История, II, стр. 36—37. [3] Константин VIII (1025—1028). [4] Роман III Аргир (1028—1034). [5] Покойният император Константин VIII. [6] Василий II Българоубиец, за да ограничи нарастването на едрото земевладение, въвел един нов вид алиленгий, различен от алиленгия на Никифор I Геник (802—811). Според тази данъчна система едрите собственици били длъжни да плащат данъка за изоставените земи на избягалите бедни селяни. Според Скилица алиленгият бил премахнат още при управлението на Константин VIII. Срв. *G. Rouillard*, L'épibolé au temps d'Alexis Comnène, Byzantion, X (1935). p. 31 sq; *Bréhier*, Les institutions, pp. 259–260; *Острогорски*, Историја Византије, стр. 306—307; *Ангелов*, История, I, стр. 283; II, стр. 19.

Προυσιάνος ὁ Βούλγαρος λάθρα τῇ τῆς Αὐγούστης Ζωῆς ἀδελφῇ τῇ Θεοδώρᾳ κοινολογεῖσθαι καὶ τῇ βασιλείᾳ ἐποφθαλμεῖν, συλλαμβάνεται καὶ φρουρεῖται, εἶτα καὶ πηροῦται τοὺς ὀφθαλμούς (p. 574_{7-17}).

гистър Прусиан Българина бил заподозрян, че има тайни разговори със сестрата на императрица Зоя Теодора и че се домогва до властта, и бил хванат и поставен под стража, а след това ослепен.[1]

47. Basilius, bellis cum Bulgaris occupatus, Orientem neglegit

πολλὰς γὰρ τῶν πόλεων τῆς τε Φοινίκης καὶ τῆς Συρίας τοῦ Νικηφόρου καὶ τοῦ Ἰωάννου τῶν βασιλέων ὑπαγόντων τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ, ὁ μετ' ἐκείνους Βασίλειος σχολάζων ταῖς κατὰ Βουλγάρων μάχαις καιρὸν οὐκ ἔσχε τὰς ἑαλωκυίας ἀσφαλίσασθαι πόλεις. αἱ δ' ὅμως, μέχρι μὲν περιῆν ἐκεῖνος, οὐκ ἐτόλμων εἰς προὖπτον τὸν τῆς δουλείας ζυγὸν ἀποσείσασθαι (p. 575_{9-15}).

47. Василий II, зает с борбата срещу българите, пренебрегва Изтока

Докато император Никифор[2] и Йоан[3] подчинили много от градовете на Финикия и Сирия под властта на ромеите, техният приемник Василий, зает с борбите срещу българите, не успял да затвърди властта в превзетите градове, при все че те, докато той бил жив, не се осмелявали явно да се отърсят от игото на робството.

48. Regiones Bulgariae praeda Patzinacarum fiunt

ἐκδημήσαντος δὲ τοῦ βασιλέως τῆς πόλεως ὁ Διογένης Κωνσταντῖνος ὡς τυραννίδα μελετῶν καὶ ἀποδρᾶναι μέλλων εἰς τὸ Ἰλλυρικὸν κατεσχέθη καὶ ἐταζόμενος ἑαυτὸν κατεκρήμνισε καὶ ἀπέθανεν, ἵνα μὴ τοὺς συνειδότας ἐκφαυλίσῃ τῇ βίᾳ νικώμενος. τότε μέντοι Ἄραβες μὲν τὴν Μεσοποταμίαν κατέδραμον, οἱ δέ γε Πατζινάκοι τὴν Βουλγαρίαν καὶ τὴν τοῦ Ἰλλυρικοῦ παράλιον οἱ Ἀγαρηνοί. τούτοις δὲ μόνοις στόλος Ῥωμαϊκὸς προσβαλὼν τὰ πλείω τῶν σκαφῶν ἐνέπρησε καὶ κατέκαυσεν (579_{10-17}). — — — — — — *ἑάλω δὲ τότε τοῖς μὲν ἐκ τῆς Ἄγαρ τὰ Μύρα καὶ τοῖς Πατζινάκαις λεία γέγονε τὰ Μυσῶν. τοῦ δὲ δουκὸς Ἀντιοχείας Νικήτα καταστρέψαντος τὴν ζωήν, ὁ Κωνσταντῖνος, ἀδελφὸς ὢν καὶ οὗτος τοῦ βασιλέως, ἐπὶ τῇ Ἀντιοχείᾳ τὸν τελευτήσαντα διεδέξατο, καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς πρωτοβεστιάριος προκεχείριστο. ἐξ Ἀφρικῆς μέντοι καὶ Σικελίας στόλος ἀποπλέων Ἀγαρηνῶν ἐκάκου τάς τε νήσους καὶ τὰ παράλια· ἀλλὰ τούτοις στόλος ἐπιπλέων Ῥωμαϊκὸς πολλὰ μὲν τῶν σκαφῶν κατέδυσεν αὔτανδρα, πολλοὺς δ' ἐζώγρησε, καὶ τοὺς μὲν πρὸς τὸν βασιλέα ἐκπέπομφεν, οἱ δὲ ἀνεσκολοπίσθησαν κατὰ τὴν παράλιον. Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασγίας, ᾧ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς ἡρμόσατο Ῥωμανός, τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυσε καὶ ὧν παρεχώρησε πρὶν Ῥωμαίοις φρουρίων καὶ πόλεων ἐπελάβετο πάλιν, ὡς τάχα δίκας Ῥω-*

48. Българските земи биват плячкосвани от печенеги

След като императорът напуснал столицата, бил заловен Константин Диоген[4], понеже замислял узурпация и възнамерявал да избяга в Илирик; поставен на разпит, той се обесил и загинал да не би да издаде съучастниците си, като бъде победен с насилие. По това време арабите опустошили Месопотамия, печенегите — България, а агаряните — крайбрежието на Илирик.[5] Ромейската флота, нападайки само агаряните, запалила и изгорила повечето от техните лодки. — — — Тогава била превзета Мира от агаряните, а мизийските области станали плячка на печенегите.[6] След смъртта на антиохийския дук Никита Константин, който също бил брат на императора[7], наследил умрелия Никита в Антиохия, а другият му брат бил назначен за протовестиарий[8]. От Африка и Сицилия пристигнала агарянска флота и опустошавала островите и крайбрежията. Но срещу тях отплавала ромейска флота, потопила много от корабите заедно с войниците и мнозина пленила, едни от които изпратила на императора, а други били набити на кол по крайбрежието. А Панкратий, предводителят на Абазгия, комуто император Роман[9] дал за жена собствената си племенница, нарушил мира с ромеите и отново завзел крепостите и градовете, които по-рано отстъпил на ро-

---

[1] Прусиан (Пресиан), син на българския цар Иван Владислав, получил титлата магистър още по времето на Василий II. Той взел участие заедно с майка си, бившата българска царица Мария, в заговора срещу Роман III Аргир, организиран от привържениците на Теодора през 1029 г. Срв. *Златарски*, История, II, стр. 33—34.
[2] Никифор II Фока.
[3] Йоан Цимисхий.
[4] Константин Диоген бил дук (управител) на България.
[5] Споменатите тук нападения били извършени през 1032 г.
[6] Тези нападения на печенегите над българските земи се отнасят към първите години от управлението на Михаил IV Пафлагон (1034—1041).
[7] Михаил IV Пафлагон.
[8] Протовестиарий — началник на службата, която се грижела за частното императорско съкровище. Длъжността протовестиарий заемала второ място в списъка на длъжностите, запазвани за евнуси. Срв. *Bréhier*, Les institutions, pp. 130- 131.
[9] Роман III.

μαίους πραττόμενος ὑπὲρ τοῦ βασιλέως καὶ θείου τῆς αὐτοῦ ὁμευνέτιδος. πολλάκις δ' οἱ Πατζινάκαι τὸν Ἴστρον διαβαίνοντες τὰ Ῥωμαίων κακῶς διετίθεντο, τοὺς ἁλισκομένους ἡβηδὸν ἀναιροῦντες (pp. 589_{11}—590_{8}).

меите, като може би си отмъщавал на ромеите за императора — вуйчото на неговата съпруга. Печенегите често преминавали Истъра и правели големи злини в ромейските области, убивайки поголовно всички пленници.

49. De petri Deliani seditione

Τῶν δὲ Βουλγάρων, ὡς ἤδη ἱστόρηται, ὑπὸ Βασιλείου τοῦ βασιλέως καταπολεμηθέντων καὶ τῆς αὐτῶν βασιλείας καθαιρεθείσης, μέχρι μέν τινος ἔφερον οἱ βάρβαροι τὸν τῆς δουλείας ζυγόν. εἶτα τοῦτον ἀποσείσασθαι διανενόηντο καὶ ἐσφάδαζον, ἀλλὰ σφίσι τὸ ἄναρχον ἐκώλυε τὸ ἐννόημα. ἀνὴρ δέ τις ἄσημος μὲν τὸ γένος, Δολιάνος καλούμενος, δόλου δὲ μεστὸς καὶ δεινότητος, υἱὸν ἑαυτὸν ἐπιφημίσας τοῦ Ἀαρών, ὃς τοῦ Σαμουὴλ τοῦ ἄρξαντος τοῦ ἔθνους ἦν ἀδελφός, ἐκ Βυζαντίου, ὡς λέγεται, ἀποδρὰς καὶ πείσας τὸ ἔθνος παῖς εἶναι τοῦ Ἀαρών, ἐξ ἡμιγάμου ἐκείνῳ γενόμενος, ἀλλ' οὐκ ἐξ ἐννόμου εὐνῆς, εἰς βασιλέα τοῖς βαρβάροις ᾑρέθη. ἐντεῦθεν εἰς φανερὰν ἀποστασίαν ἐξερράγη τὸ ἔθνος καὶ εἰς λῃστείας κεκίνητο καὶ τὰ Ῥωμαίων κατέτρεχε. στέλλεται τοίνυν στρατηγός τις μετὰ δυνάμεως, ἵν' ἀνακόπτῃ τὰς ἐπιδρομὰς τοῖς λῃστεύουσιν. ὁ δὲ κακῶς τοῖς ὑπ' αὐτὸν προσφερόμενος ἐξηρέθισε τούτους καθ' ἑαυτοῦ καὶ ἀπώλετο ἄν, εἰ μὴ ἀπέδρα νυκτός. ἡ γοῦν ὑπ' αὐτὸν στρατιὰ δείσασα πρὸς ἀποστασίαν ἐχώρησε καὶ τινα ἐξ ἑαυτῶν Τειχομηρὸν κεκλημένον, ἐκ δὲ γένους φύντα Βουλγαρικοῦ, ἀρχηγὸν ἑαυτοῖς προχειρίζονται καὶ βασιλέα Βουλγαρίας αὐτὸν ὀνομάζουσι. καὶ τὰ τῶν Βουλγάρων διῄρητο, τῶν μὲν τῷ Δολιάνῳ, τῶν δὲ τῷ Τειχομηρῷ προσρυϊσκομένων. ἀλλὰ δόλῳ μετῆλθεν ὁ Δολιάνος τὸν ἀντικαθιστάμενον· μετακαλεῖται γὰρ αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς καὶ τῆς πρὸς Ῥωμαίους μάχης. καὶ ὃς πείθεται. ἐπεὶ οὖν ἡνώθησαν ἄμφω οἱ ἀρχηγοὶ καὶ τὸ πλῆθος τῶν Βουλγάρων συνήθροιστο, ὁ Δολιάνος πρὸς τοὺς συνειλεγμένους ἔφη μὴ ἄν ποτε σωθήσεσθαι τὸ τῶν Βουλγάρων ἔθνος ὑπ' ἀρχηγῶν δυοῖν κυβερνώμενον, καὶ „εἰ τὴν σωτηρίαν ὑμῶν βούλεσθε, τὸν ἕνα ἐξ ἡμῶν ποιήσατε ἐκποδών· εἰ μὲν οὖν ἐμὲ τοῦ γένους εἶναι τοῦ Σαμουὴλ οἴδατε, ἀποσκευάσασθε τὸν Τειχομηρόν. εἰ δ' οὐ τοῦτο, αὐτῷ μὲν ἑαυτοὺς ὑποτάξατε, ἐμὲ δ' ἐκ μέσου ποιήσατε.“ ἐπὶ τούτοις θροῦς ἤρθη, καὶ οἱ τὴν βασιλείαν ξύμπαντες ἐπευφήμησαν, καὶ ὁ Τειχομηρὸς κατελεύσθη. ὁ δὲ Δολιάνος αὐτοκράτωρ γενόμενος εἷλέ τε τὸ

49. Въстанието на Петър Делян

След като българите, както вече казах, били покорени от император Василий и след като държавата им била подчинена, известно време варварите понасяли игото на робството. След това те намислили да го отхвърлят и се надигнали, но липсата на вожд осуетила замисъла им. Някой си мъж от неизвестен род, наречен Делян[1], изпълнен с хитрост и изобретателност, който наричал себе си син на Арон, брата на Самуил, предводителя на тоя народ, избягал, както разказват, от Цариград и като убедил народа, че е син на Арон от негова незаконна жена,[2] а не от законната му съпруга, бил избран за цар на варварите. Тогава народът вдигнал открито въстание, насочил се към грабежи и опустошавал ромейските земи. Прочее изпратен бил някой стратег[3] с войска, за да прекрати техните нападения и грабежи. Но понеже той се отнасял зле с подчинените си, възбудил ги срещу себе си и щял да загине, ако не бил избягал през нощта. И тъй подчинените му войници, като се изплашили, въстанали и избрали за свой вожд един от другарите си на име Тихомир, по род българин, и го провъзгласили за цар на България.[4] И така българите се разделили, като едни се присъединили към Делян, а други към Тихомир. Но Делян си послужил с хитрост спрямо противника. Той го повикал да споделят властта и борбата с ромеите. И Тихомир повярвал. И тъй, когато двамата вождове се срещнали и войската на българите се събрала, Делян казал пред събраните, че българският народ никога няма да се спаси, докато го предвождат двама началници, и добавил: „Ако милеете за вашето спасение, премахнете един от нас. Понеже знаете, че аз съм от рода на Самуил, отстранете Тихомир; ако ли не, подчинете се нему, а мене отстранете.“ Тогава се вдигнал шум и всички го приветствували като цар, а Тихомир бил убит с камъни. А Делян, като станал самодържец,

[1] Зонара предава името Делян под формата *Δολιάνος*, която по смисъл се доближава до *δόλιος, δόλερος* — „хитър“. [2] Петър Делян бил син на Гавраил Радомир от първия му брак с дъщерята на унгарския крал. Гавраил Радомир я изоставил и тя била принудена да се върне в Унгария. Тъй като Петър Делян се родил в Унгария след разтрогването на този брак, византийските автори го смятат за незаконороден. Тук Зонара неправилно нарича Петър Делян син на Арон. Срв. *Златарски*, История, II, стр. 45—46. Срв. обаче *Г. Цанкова—Петкова*, Петър Делян през погледа на неговите съвременници, ИПр., год. XXII, 1966, кн. 4, стр. 97—108. [3] Става дума за стратега на Драч Михаил Дермокаит. [4] Населението на Драчката тема, което било предимно българско, вдигнало също бунт в 1040 г., като избрало за вожд и български цар Тихомир. Срв. *Златарски*, История, II, стр. 52—53.

Δυρράχιον καὶ κατὰ τῆς Ἑλλάδος ἐχώρησε καὶ τὰ Νικοπολιτῶν προσεποιήσατο, τῶν ἐν αὐτοῖς ἑκόντων προσχωρησάντων αὐτῷ, ἐπεὶ μὴ ἔφερον τὴν τοῦ ὀρφανοτρόφου ἀπληστίαν καὶ τὸ ἀκόρεστον. καὶ ὁ μὲν οὕτως λείαν Μυσῶν τὸ τοῦ λόγου τὰ Ῥωμαίων ἐτίθετο. ὁ δὲ βασιλεὺς τῆς ἀγγελίας κομισθείσης αὐτῷ αὐτίκα ὥρμα καταλαβεῖν τὸν ἀποστάτησαντα, δεινὸν ἡγεῖσθαι λέγων, εἰ μηδὲν αὐτὸς τῇ βασιλείᾳ προσενεγκὼν μοῖραν ταύτης ἀφαιρεθεῖσάν τινα παραβλέψεται. ὅτι δέ οἱ ἀπέγνωστο τὸ βιώσιμον (ἤδη γὰρ ὁ ὕδερος αὐτοῦ κατεκράτησε καὶ αὐτοῦ τὸ σῶμα ἐξώγκωτο), τό τε συγγενὲς ἀπεῖργε τὴν ἐκστρατείαν αὐτῷ παρακλήσεσι καὶ οἱ προὔχοντες τῆς βουλῆς οὐκ ἐπῄνουν τὸ βούλεμα. ἀλλ' ἐκεῖνος ζήλῳ ῥωννύμενος καὶ ἀντεπάγων τῇ ἀσθενείᾳ τὸ πρόθυμον ἐπὶ τοὺς Σκύθας χωρεῖ, καὶ ἦν τὸ πρᾶγμα θαύματος ἄξιον. νυκτὸς γὰρ τῇ νόσῳ καταπονούμενος καὶ οὐκ ἂν ἐς αὔριον ἀναστήσεσθαι προσδοκώμενος, ὁ δὲ ἡμέρας ἄρτι φανούσης ἔφιππός τε ὡρᾶτο καὶ προῄει τῆς στρατιᾶς. ὡς δ' ἐν τοῖς τῶν Σκυθῶν τούτων ὁρίοις ἐγένετο, ἡτοιμάζετο πρὸς ἀντιπαράταξιν, οὔπω δ' ἀλλήλοις τὰ τάγματα συνερρώγεσαν καί τι συμβὰν ἀπόνως τάχα τῷ βασιλεῖ τὴν νίκην προσένειμεν. ὁ γάρ τοι τοῦ Ἀαρὼν ἐκείνου υἱός, ὁ πατρίκιος Ἀλουσιάνος, παρὰ Ῥωμαίοις ὢν ἔτι, προσκεκρουκὼς τῷ κρατοῦντι, ἐπ' οἴκου μένειν καταδεδίκαστο καὶ μήτε προσιέναι πρὸς τὰ ἀνάκτορα μήθ' ὅλως εἰσιέναι πρὸς τὸ Βυζάντιον, εἰ μὴ ἐπιτραπείη τὴν εἴσοδον. ἠθύμει γοῦν διὰ ταῦτα· ἐπεὶ δ' ἐγνώκει τὴν τοῦ ἔθνους ἀποστασίαν καὶ τὴν τοῦ Δολιάνου αἵρεσιν εἰς τὸ ἄρχειν αὐτοῦ, ἀποδιδράσκει μὲν τῆς οἰκίας αὐτοῦ καὶ μεταμφιέννυται, Ἀρμενίου τε στολὴν περιθέμενος ἑαυτῷ καὶ θεράπων εἶναι τοῦ Θεοδωροκάνου πλαττόμενος καὶ ἀπιέναι πρὸς τὸ στρατόπεδον ἔλαθε πάντας καὶ πρὸς Βουλγαρίαν κατήντησεν. ἀλλ' οὐκ αὐτίκα δῆλον ἔθετο ἑαυτόν, προσομιλῶν δέ τισι τοῦ Ἀαρὼν ἀνεμίμνησκε καὶ „ἆρα" ἔλεγεν „εἴ τις τῶν ἐκείνου παίδων παρῆν, ἔδοξεν ἂν ὑμῖν εἰς τὴν ἔθνους ἀρχὴν προτιμότερος τοῦ νόθου ὁ γνήσιος;" ὡς δὲ πάντες πεποίηντο δι' εὐχῆς τὸ ὑπὸ γνησίου παιδὸς ἄρχεσθαι τοῦ Ἀαρὼν καὶ τὴν βασιλείαν αὖθις εἰς ἀναμφίβολον περιστῆναι ἄνδρα καὶ τῷ πάλαι βασι-

завзел Драч, отправил се срещу Елада, присъединил и областта на Никопол,[1] чието население доброволно преминавало на негова страна, понеже не могло да понася алчността и ненаситността на Орфанотрофа[2]. И тъй той според поговорката направил ромейските земи плячка на мизите. Императорът[3], след като му било донесено съобщението, веднага потеглил, за да залови бунтовника. Той казвал, че смята за позорно, ако остави държавата да бъде лишена от някоя своя част, след като самият той не е прибавил нищо към нея. Но понеже не бил добре със здравето си — той вече бил болен от воднянка и тялото му се било подуло, — роднините му го съветвали да се откаже от похода, а първенците от сената не одобрявали решението му. Но той, черпейки сили от усърдието си и като противопоставил на болестта силата на своя дух, отправил се срещу скитите[4]. И станало нещо удивително. През нощта той бил измъчван от болестта и смятали, че няма да се вдигне на сутринта. Но щом се съзорило, той се появил на кон и повел войската. Щом пристигнал в планините на тия скити, той се приготвил за бой. Преди да се срещнат двете войски, се случило нещо, което дало на императора бърза и лека победа. Синът на Арон, патрикий Алусиан[5], който се намирал още при ромеите и бил с нещо засегнал императора, бил осъден да стои в къщи и нито да влиза в двореца, нито въобще да отива в Цариград, ако не му бъде разрешен достъп. Поради това бил в униние. А когато узнал за въстанието сред народа и за избирането на Делян за водач, избягал от своя дом, сменил дрехите си и като се преоблякъл в арменска носия, престорил се, че е прислужник на Теодоракан[6] и че отива в лагера. Така незабелязано от всички пристигнал в България. Той не се разкрил веднага кой е, но разговаряйки с някои, споменал за Арон и казал: „Ако присъствуваше тук някое от неговите деца, дали би бил предпочетен от вас за предводител на народа законният син пред незаконния?" Щом всички изразили желание да бъдат управлявани от законния син на Арон, а също и царската власт да бъде поверена на човек с неоспорими права и който произхожда без

[1] Става дума за Никополската или Навпактската тема в Епир с главен град Навпакт. [2] Йоан, наречен Орфанотроф, бил брат на император Михаил IV Пафлагон и имал голямо влияние в управлението. Той се занимавал с финансите на империята и проявил голяма алчност. Населението на тема Никопол се присъединило към въстанието на Делян, искайки да отхвърли тежкия данъчен гнет. За антифеодалния характер на това въстание срв. *Г. Г. Литаврин*, България и Византия в XI—XII вв., Москва, 1960, стр. 384—385. [3] Михаил IV Пафлагон. [4] Византийските автори често наричат българите скити. [5] Тук авторът погрешно нарича Алусиан син на Арон. В същност Алусиан бил внук на Арон и син на Иван Владислав. След покоряването на България той преминал на византийска служба и бил назначен за стратег на Теодосиупол в Армения. Срв. *Г. Цанкова-Петкова*, Петър Делян през погледа на неговите съвременници, ИПр., XXII, 1966, кн. 4, стр. 105, бел. 47. [6] Магистър Василий Теодоракан — виден византийски пълководец.

λείῳ γένει προσήκοντα καθαρῶς, πιστεύει τινὶ τὸ ἀπόρρητον τῶν μᾶλλον εἰδότων τὸ γένος τοῦ Ἀαρών. ὁ δὲ περιεργότερον αὐτῷ ἀνιχνεύσας τὸ εἶδος τοῖς ὀφθαλμοῖς, εἶτα καί τι σημεῖον εἰδὼς προσὸν αὐτῷ ἀναμφίβολον, καὶ τοῦτο ἰδεῖν ἀπαιτεῖ. τὸ δ' ἦν περὶ τὸν δεξιὸν ἀγκῶνα χρῶμά τι μέλαν καὶ θρὶξ δασεῖα περὶ αὐτό. ἰδὼν οὖν καὶ τοῦτο καὶ οὐκέτι ἔχων ἐνδοιαστῶς καταβάλλει μὲν ἑα τὸν ἐνώπιον τοῦ ἀνδρὸς καὶ τοὺς πόδας αὐτοῦ περιπτύσσεται. διδάσκει δὲ καὶ τοὺς ἄλλους τὸν ἐκ τοῦ βασιλείου γένους αὐτοῖς ἀφικόμενον. καὶ πολλοὶ τοῦ ἀμφιβόλου ἀπορραγέντες τῷ γνωσίῳ προσέθεντο, καὶ μεμέριστο ἡ ἀρχή· ὡς δ' οὐ πάντως τῆς βασιλείας αὐτῆς στησομένης, εἰ πρὸς ἀλλήλους οἱ ἀρχηγοὶ διαφέροιντο, κοινοπραγοῦσι καὶ σπένδονται, ἀλλήλους δὲ καὶ ὑπώπτευον καὶ ἐνήδρευον. ἀλλ' ὀξύτερος εὑρέθη ὁ Ἀλουσιάνος πρὸς τὴν ἐπιβουλὴν καὶ τὴν τοῦ Δολιάνου προέφθασε δολιότητα. καὶ πότον ἑτοιμασάμενος καὶ συμπότην παραλαβὼν τὸν συνάρχοντα ἐπιτίθεταί οἱ συμποσιάζοντι καὶ ἐξορύττει τῷ ἀθλίῳ τὰ ὄμματα, καὶ εἰς μίαν ἐντεῦθεν ἀρχὴν τὸ Σκυθικὸν περιίσταται. εἶτα δι' ἀπορρήτων μηνύει τῷ βασιλεῖ βουλεύσασθαι προσχωρῆσαι αὐτῷ, εἰ εὐμενοῦς αὐτοῦ τεύξεται καὶ ἀναλόγων οὐκ ἀμοιρήσει τῶν ἀμοιβῶν. ὁ δὲ τὴν ἔντευξίν τε προσήκατο καὶ ἀξίως ἀμείψασθαι αὐτὸν ἐπηγγείλατο. καὶ ὃς αὐτίκα προσεληλύθει καὶ τετίμητο μάγιστρος. ὁ δὲ βασιλεὺς ἔπεισι τῷ ἔθνει εὐθύς, τὸ δὲ ἄναρχον ὂν καὶ διεσπαρμένον οὐ δυσέργως καταπολεμηθὲν αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑπέκυψε, καὶ ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε καὶ κατήγαγε θρίαμβον, αἰχμαλώτους τε πολλοὺς διαγαγὼν ἐν αὐτῷ καὶ τὸν Δολιάνον αὐτὸν πεπηρωμένον τὰ ὄμματα (pp. 598_9—603_{16}).

всяко съмнение от стар царски род, Алусиан издал тайната си на някои от ония, които добре познавали рода на Арон. А той се вгледал по-внимателно в лицето му, после го запитал дали има някакъв неоспорим белег и поискал да го види. А то било някаква черна бенка на десния лакът, обраснала с гъсти косми. След като видял и това, той вече нямал никакво съмнение, коленичил пред тоя мъж и обгърнал краката му. Съобщили на другите, че им е дошъл един потомък от царския род. И мнозина се отвърнали от съмнителния и се присъединили към законния царски син и властта била поделена. И понеже държавата не би могла да съществува, ако водачите ѝ биха били в разногласие, те се обединили и се помирили, обаче се подозирали и дебнели един друг.[1] Обаче Алусиан бил по-сръчен в злоумишлението си и изпреварил хитростта на Делян. Той приготвил угощение и като поканил своя съуправител на трапезата си, нападнал го във време на пиршеството и извадил очите на нещастника. И след това скитите минали под една власт. След това тайно съобщил на императора, че иска да мине на негова страна, ако го посрещне благосклонно и ако не го лиши от съответна награда. Императорът приел молбата му и му известил, че достойно ще го възнагради. Той веднага пристигнал и бил почетен като магистър. След това императорът веднага потеглил срещу народа и понеже той бил без водач и разединен, без труд бил победен и пак превил врат пред ромейското господство. Императорът се върнал в Цариград и направил триумфално шествие, в което водел много пленници и самия Делян с извадени очи.[2]

50. De Leonis Tornicii rebellione

Ἄλλη δ' αὖθις τυραννὶς τῷ Μονομάχῳ δεινοτέρα ἐξυπανέστη. ἡ τοῦ Τορνικίου δ' ἦν αὕτη Λέοντος, ὃς μητρόθεν κατὰ γένος προσῆκε τῷ αὐτοκράτορι. οὗτος τοίνυν τὴν Ὀρεστιάδα οἰκῶν (οὕτω δὲ πάλαι ἡ πόλις ἐκαλεῖτο τοῦ βασιλέως Ἀδριανοῦ) τοὺς Μακεδόνας εἶχε προσέχοντας αὐτῷ ὡς δή τινι κρείττονι. ἦν γὰρ ὁ ἀνὴρ οὔτε τὸ εἶδος φαῦλος οὔτε

50. За бунта на Лъв Торник в Тракия

Обаче друг, по-опасен бунт бил отново повдигнат срещу Мономах[3]. Той бил вдигнат от Лъв Торник,[4] който по майка бил сродник на императора. Прочее той живеел в Орестиада[5] — тъй по-рано се наричал градът на императора Адрианопол — и македонците[6] били привързани към него като към влиятелен човек. Защото този мъж не бил незначителен нито по вид, нито по ум.

---

[1] Според *Литаврин*, България и Византия, стр. 389 и сл., Алусиан привлякъл на своя страна част от българското болярство. [2] Въстанието завършило през 1041 г. Срв. *Златарски*, История, II, стр. 75. За хода на въстанието срв. още *П. Мутафчиев*, История на българския народ, II, София, 1944, стр. 11—16; История на България, I, стр. 153—155; *Литаврин*, България и Византия, стр. 387 и сл. [3] Константин IX Мономах (1042—1055). [4] Бунтът на патриций Лъв Торник, който искал да узурпира властта, избухнал през 1047 г. в Тракия. За този бунт срв. *Острогорски*, Историја Византије, стр. 316; *Златарски*, История, II, стр. 85. При потушаването на бунта на страната на императора участвували и българи, включени във византийската войска. *Ив. Дуйчев*, Проучвания върху българското средновековие, СбБАН, XLI (1949), стр. 30—34. [5] Старото име на Адрианопол, дн. Одрин. [6] Жителите на тема Македония, дн. Източна Тракия.

τὸ φρόνημα· εἶχε δέ τι καὶ ἕτερον ᾧ πρὸς ἑαυτὸν τοὺς πλείστους ἐφείλκετο. ἐχρησμολόγει γὰρ ἡ φήμη περὶ αὐτοῦ, οἷα καὶ περὶ ἄλλων λέγεται μάτην, ὡς τῶν Ῥωμαϊκῶν σκήπτρων ἔσοιτό ποτε ἐγκρατής. πρὸς ὃν ὁ βασιλεὺς οὔτε ὡς αὐτῷ προσήκοντα διετέθειτο, ἀλλὰ μέντοι καὶ ἀπηχθάνετο τῷ ἀνδρί. ἡ δὲ τοῦ κρατοῦντος ὁμαίμων ἡ Εὐπρεπία ᾠκειοῦτό τε καὶ ἐδεξιοῦτο αὐτόν, γυνὴ γενναία τε καὶ σταθηροτάτη τὸ φρόνημα καὶ εἰς τύχης ἐλάσασα περιφάνειαν καὶ εἰς πλούτου δαψίλειαν, ἣ τῷ ἀδελφῷ στερκτέα οὐκ ἦν, ηὐλαβεῖτο δ' αὐτὴν διὰ τὸ περιὸν τῆς φρονήσεως. ἡ δὲ μή τινος ἐξ ἐκείνου τυγχάνουσα τῶν μειζόνων οὔτε συχνάκις αὐτῷ προσῄει καὶ ὑπερηφάνως ὅτε προσελήλυθε προσεφέρετο, διελέγχουσά τε καὶ ὀνειδίζουσα. εἰ δ' ἐπὶ τούτοις ἑωράκει τὸν ἀδελφὸν ὀργιζόμενον, ἀπεδυσπέτει καταφρονητικῶς. ὁρῶν οὖν τὴν πρὸς τὸν Τορνίκην τῆς ἀδελφῆς ὁ βασιλεὺς γνησιότητα ὑπώπτευέ τε καὶ ἐμήνια, καὶ ἵνα πόρρω ἀλλήλων θεῖτο αὐτούς τῶν ἐν Ἴβηρσι τῇ Ῥωμαίων ἡγεμονίᾳ διαφερόντων αὐτῷ τὴν ἀρχὴν ἀνατίθησι, κατεσχηματισμένην εὐπροσώπως ὑπερορίαν αὐτοῦ καταψηφισάμενος. καὶ ὁ μὲν ἀπῆλθεν· ἡ δέ γε φήμη, ἣ πρὸς μέγα τύχης αὐτὸν ἐξῇρεν ἐν ἐλπίσιν, οὐκ ἔληγε. καί τινες ἐκ τούτου τὸν ἄνδρα πρὸς τὸν βασιλέα διέβαλλον. ὁ δὲ τοῖς λόγοις τούτοις τὴν γνώμην διασεισθεὶς στέλλει καὶ κείρει μὲν τὴν κόμην τῷ Τορνίκῃ συγκείρειν αὐτῷ ταῖς θριξὶ καὶ τὰς ἐλπίδας οἰόμενος, ῥάκος δὲ μέλαν αὐτὸν ἀμφιέννυσι, ζοφοῦν αὐτῷ νομίζων ἐντεῦθεν τὴν προσδοκωμένην τῆς τύχης λαμπρότητα· οὕτω δ' ἐπανελθόντα μήτ' οἰκτείρας, ἀλλὰ καὶ ἐπικαγχάσας ἀφῆκεν. οἱ δέ γε Μακεδόνες καὶ πρῴην, ὡς εἴρηται προσκείμενοι τῷ ἀνδρὶ καὶ χρηστὰς ἐλπίσας ἐπ' αὐτῷ θάλποντες νυκτὸς αὐτὸν ὑπεξαγαγόντες τῆς βασιλίδος τῶν πόλεων ἐς τὴν αὐτῶν μητρόπολιν ἄγουσι τὴν Ἀδριανούπολιν, καὶ σπουδῇ τῶν προστεθειμένων αὐτῷ ταχὺ τὰ πλείω τῶν στρατευμάτων ἐκεῖ συνηθροίσθησαν ἢ καὶ μίσει τῷ πρὸς τὸν αὐτοκράτορα. διά τινας γὰρ αἰτίας οὔτ' ἐκεῖνος καλῶς τοῖς στρατιώταις ἐκέχρητο, ἀλλὰ καὶ ὑποψίας ὑπέτρεφε κατ' αὐτῶν, κἀκεῖνοι διὰ ταῦτα πρὸς ἔχθος κατ' αὐτοῦ ἠρεθίζοντο. ὡς δ' οὖν συνελέγησαν, εὐφημίας αὐτὸν αὐτίκα βασιλικῆς καὶ ἀναρρήσεως κατηξίωσαν. ὁ δὲ σὺν αὐτοῖς εὐθὺς ἔργου εἴχετο καὶ ἀθρόον τῇ βασιλευούσῃ ἐπιφοιτᾷ, καί οἱ προσιόντι προσεφοίτων πολλοὶ καὶ στρατιῶται καὶ ἀστικοί· κακεῖνος ταῖς ἐλπίσιν ᾐώρητο, ὡς οὔτινος αὐτῷ ἀντιστησομένου, ἀλλὰ μᾶλλον ἀναπετασόντων αὐτῷ εὐπετῶς καὶ τὰς πύλας τῆς πόλεως, ὅτι τε τὰ ἑῷα στρατεύματα πολέμοις ἐκεῖ προσησχόλητο καὶ ὅτι καὶ οἱ τῆς πόλεως δι' ὀργῆς

А той имал и нещо друго, с което привличал мнозина към себе си. Защото мълвата предавала, както прочее се напразно говори и за други хора, че ще стане някога господар на ромейския престол. Към него императорът не само не бил разположен благосклонно като към свой родственик, но дори изпитвал омраза към тоя мъж. Но сестрата на владетеля Евпрепия, жена благородна и с уравновесен дух, която имала блестящо положение и изобилно богатство, била близка с него и го приемала. Тя не била обичана от брат си, който се страхувал от нея, понеже го превишавала по ум. Като не получавала нищо по-значително от него, тя рядко го спохождала, а когато идвала, изобличавала го и го оскърбявала. А когато виждала, че брат ѝ се сърди за това, презрително отвръщала. Императорът, като виждал привързаността на сестра си към Торник, ги подозирал и се гневял и за да ги раздели, назначил Торник за управител на подчинените под ромейска власт иберийци[1], осъждайки го на благовидно прикрито заточение. И тъй той заминал. А мълвата, която в надеждите [на хората] го издигнала до велика съдба, не преставала. Поради това някои го наклеветили пред императора. И той, разтревожен от техните думи, повикал Торник и го подстригал за монах, като мислел, че заедно с косите му ще пререже и неговите надежди, и му налянал черно расо, смятайки, че по тоя начин ще обвие в мрак очакваната [от него] блестяща съдба. И без да съжали така завърналия се, той, отгоре на това присмивайки се, го изпратил. Македонците, които и по-рано били под негово влияние, както казах по-горе, и му възлагали големи надежди, го извели през нощта от Цариград и го завели в техния главен град Одрин. И поради усърдието на неговите привърженици или от омраза към императора там бързо се събрала по-голямата част от войската. По неизвестни причини императорът не се отнасял добре с войниците и хранел някакви подозрения срещу тях, а и те поради това били настроени неприязнено срещу него. И тъй, щом войниците се събрали, веднага го приветствували и провъзгласили за император. Той веднага пристъпил към изпълнението на целта си заедно с тях и неочаквано нападнал столицата, а по пътя към него се присъединявали мнозина — и войници, и граждани. И той бил обладан от мисълта, че никой няма да му се противопостави, но лесно ще му отворят вратите на града, понеже източните войски били заети с войни на из-

[1] Иберия се нарича дн. Грузия.

ὅ τι Ῥωμαίοις οὐ κατὰ γνώμην ἐποίουν. ἐπεὶ δὲ ταῖς πεδιάσιν ἤδη ὡμίλουν, αἳ πολλὰ τὰ δυσπρόσοδα τῶν κατὰ τὴν Δακικὴν διαδέχονται χωρίων, παραφαίνειν λοιπὸν τὸ δυσμενὲς ἤρξαντο, τοῖς τε κατ' ἐμπορίαν τὰ ὤνια σφίσιν ἀποδιδοῦσι χεῖρα ἐπέβαλον ἄδικον· κἂν τις ἀπισχυρίσαιτο πρὸς τὴν ἁρπαγήν, τοῦτον δὲ ῥομφαίας ἔργον ἐτίθεσαν. ὅ τε ῥὴξ Κορράδος ἀνεπιστρόφως πάντῃ τῶν γινομένων εἶχε καὶ τοῖς ἐπικαλοῦσιν ἢ οὐδὲ προσεῖχεν ὅλως ἢ καὶ προσχὼν τῇ τοῦ πλήθους ἀλογιστίᾳ τὸ πᾶν ἀπεγράφετο. τούτων βασιλεὺς ἀκηκοὼς στράτευμα ᾗ τάχους εἶχεν ἅμα Προσοὺχ ἀνδρὶ ἐμπειρομάχῳ κατ' αὐτῶν ἔπεμψεν. ὃς καὶ ἐπειδὴ περὶ πόλιν Ἀδριανοῦ τούτοις συνέμιξε, μέχρι μέν τινος ἀπὸ διαστάσεως εἵπετο, τὰς ἀτάκτους τοῦ πλήθους ἀνασειράζων ὁρμάς. ὡς δὲ καὶ ἐπὶ μᾶλλον θρασυνομένους αὐτοὺς ἑώρα, καὶ πολεμίας ἤδη ἐν τῷ ἐμφανεῖ συνέμιξε χεῖρας ἀπ' αἰτίας τοιᾶσδε. τῶν τινα ἐπισημοτέρων Ἀλαμανῶν μαλακισθέντα τὸ σῶμα σεμνεῖόν τι εἶχε τῶν ἀρὰ τὴν πόλιν Ἀδριανοῦ σύν τε χρήμασι καὶ ἀποσκευῇ τῇ πάσῃ· ἃ φωράσαντές τινες Ῥωμαίων τῶν ἐκ πεζικῶν καταλόγων πῦρ τε τῇ καταγωγῇ ὑφῆψαν καὶ τὸν ἄνθρωπον οὕτω προσαπολέσαντες τὰ χρήματα ἔσχον. ὡς οὖν εἰς ἀκοὰς Φρεδερίκῳ τὸ γεγονὸς ἦλθε τῷ Κορράδου ἀδελφιδῷ, ἀνδρὶ ὑπ' ἀσυμμέτρου αὐθαδείας τήν τε ὁρμὴν ἀκαθέκτῳ καὶ ἐπιεικῶς φρονηματίᾳ σπουδῇ παλίνορσος ἐπὶ τὴν Ἀδριανοῦ ἦλθε καίτοι δυοῖν ἡμέραιν ὁδὸν Κορράδου προαπιών, πυρί τε τὸ σεμνεῖον φλέξας οὗ δὴ ὁ Ἀλαμανὸς κατέλυε πρότερον, ταύτην πολέμου πρόφασιν Ῥωμαίοις τε καὶ αὐτοῖς ἐντεῦθεν ξυνεπορίσατο. ὁ γάρ τοι Προσοὺχ εἰς χεῖρας διὰ τοῦτο Φρεδερίκῳ ἐλθὼν ἐτρέψατο αὐτὸν καὶ φόνον βαρβάρων πολὺν εἴργαστο. ἦν δὲ Φρεδερίκος οὗτος ὁ μετὰ Κορράδον Ἀλαμανῶν ἄρξας, ἐξ αἰτίας ἣ ἐν τοῖς εἰσέπειτα λελέξεται λόγοις. ἐντεῦθεν τῆς προτέρας Ἀλαμανοὶ καθυφῆκαν ἀλαζονείας ἔργῳ τὴν Ῥωμαίων διδαχθέντες ἰσχύν.

Ταῦτα μὲν οὖν τῇδε ἐπράσσετο. Ἀνδρόνικος δέ, ὃν καὶ Ὦπον ἐκάλουν, ἐκ βασιλέως τούτων δὴ ἕνεκα πεμφθείς, τῶν τε ὅρκων ἀνεμίμνησκε σφᾶς καὶ ἃ περὶ μηδὲν ἀδικήσειν Ῥωμαίους διωμολο-

вървели спокойно и не вършели нищо, което да е противно на ромеите. Но когато вече иавлезли в равнините[1], които идват след многото непроходими области на Дакия, те оттук нататък започнали да се държат враждебно спрямо тия, които им продавали стоки[2], и да ги ограбват. Ако пък някой оказвал съпротива срещу грабежа, убивали го с меч. А кралят им Конрад гледал съвсем равнодушно това, което се вършело. Той или изобщо ие обръщал внимание на тия, които се оплаквали, или пък, ако ги изслушвал, отдавал всичко това иа необуздаността на тълпата. Когато императорът узнал това, колкото се може по-бързо изпратил срещу тях войска начело с Прозух[3] — мъж опитен във военното дело. След като се сблъскал с тях около град Адриаиопол[4], той до някое време ги следвал на известно разстояние, обуздавайки безредните нападения на пълчищата им. Но като виждал, че те стават все по-дръзки и по-дръзки, той вече започнал открита война, и то поради следната причина. Някакъв знатен германец, обхванат от болест, се бил настанил в един от манастирите на град Адрианопол заедно с парите си и цялото си имущество. Когато някои ромеи от пехотните отреди усетили това, те опожарили убежището и като погубили по този начин този човек, взели парите му. Но станалото стигнало до слуха на Конрадовия племенник Фридрих[5], необикновено себелюбив мъж, неудържимо предприемчив и доста самонадеян. Тогава той бързо се върнал назад към Адрианопол, въпреки че бил изпреварил Конрад с два дни път, опожарил маиастира, където преди квартирувал германецът, и по този начин дал повод за война на самите ромеи. Затова и Прозух нападнал Фридрих, обърнал го в бягство и избил много варвари. Това бил същият онзи Фридрих, който станал нладетел иа аламаните след Конрад, и то по причина, която ще бъде изложена подолу. Тогава вече аламаните изоставили предишното си високомерие, след като на дело се запознали с ромейската мощ.

Така се развивали събитията.[6] Андроник, когото наричали още и Опос, бил изпратен от императора във връзка с тази работа. Той припомнил на аламаните за клетвите им, изтъкиал много от ония неща, за които те преди това се били уговорили — да не увреждат с нищо ромеите, — и пори-

[1] Имат се пред вид равнините в дн. Югозападна и Южна България. [2] За търговията между кръстоносците и местното население срв. *Стр. Лишев*, За стоковото производство във феодална България, София, 1957, стр. 71. [3] Прозух — пълководец от турски произход, получил възпитанието и образованието си във Византия. Срв. *Moravcsik*, op. cit., II, p. 257. [4] Дн. Одрин. [5] Става дума за бъдещия германски император Фридрих Барбароса. [6] Събитията се отнасят към 1147 г. Срв. *Златарски*, История, II, стр. 378—382.

γήκασι πρότερον συχνὰ προφέρων ὠνείδιζέ τε τὴν ἀπιστίαν αὐτοῖς, καὶ εἴγε μὴ εἰς προὖπτον κακὸν ἐμπεσεῖσθαι βουλομένοις εἴη, ἐπὶ τὸν Ἀβύδου ξυνεβουλεύετο πορθμὸν ἰέναι κἀκεῖθεν αὐτίκα περαιωσομένους. ἀλλ' Ἀνδρόνικος μὲν τοσαῦτα εἰπὼν ἐπειδὴ μὴ πείθειν εἶχεν, ἄπρακτος ἐς Βυζάντιον ἀνεχώρει. οἳ δὲ εἰς βουλὴν συλλεγέντες περὶ τῶν ἐν χερσὶ πραγμάτων ἐσκέπτοντο. δόξαν δὲ τῆς ἐπὶ Βυζάντιον ἔχεσθαι, ἄραντες ἐκεῖθεν ὁδῷ προῄεσαν. οὐδέν τε ἧσσον αὖθις ἐκεῖνοι καὶ μετὰ τὴν πληγὴν ἦσαν οἱ πρὶν ἀλαζόντες. τά τε γὰρ βοσκήματα συνέκοπτον ἀφειδῶς καὶ Ῥωμαίων δὲ τῶν ἀνθισταμένων πολλοὺς ἔκτεινον· ἥ τε μάχη οὐκέτι λοιπὸν ἐκ τοῦ ἀφανοῦς συνίστατο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, δεῖν ἔγνω παρασκευάζεσθαι καὶ αὐτός. πόλιν μὲν οὖν τὴν Κωνσταντίνου αὐτίκα στρατόπεδα ἐφρούρει, τὰ μὲν πρὸ τῶν τειχέων αὐλιζόμενα τὰ δὲ καὶ πυλῶν ἔνδοθι διατριβὴν ἔχοντα. Βασίλειον δέ, ὃν καὶ Τζικανδύλην ἐπεκάλουν, πολλοῖς ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον ἀγῶσι καὶ μάχαις κατὰ βαρβάρων ἐνευδοκιμηκότα τῶν τῇδε [Κωνσταντίνου], ἅμα τῷ Προσούχ, οὗπερ ἤδη ἐμνήσθην, Πέρσῃ μὲν τὸ γένος τροφῆς δὲ καὶ παιδείας μεταλαχόντι Ῥωμαϊκῆς, ἐπί τινα χῶρον ᾧ Λόγγοι ὄνομα ἅμα στρατεύμασιν ἐλλοχήσοντας ἔστειλλεν, ἐπισκήψας αὐτοῖς, ἐπειδὰν χειρῶν ἀδίκων καὶ πάλιν κατάρχειν πειρῶνται Ἀλαμανοί, ἀντεπεξιέναι σφίσι κατὰ τὸ ἐγχωροῦν. οἳ καὶ ἐπειδὴ πρὸς τῷ χώρῳ ἐγένοντο, τήν τε Ἀλαμανῶν κατενόουν πληθὺν καὶ ὅπως ποτὲ τάξεως ἢ ἀταξίας τὰ στρατόπεδα τούτοις ἔχοι ἐπιμελέστατα διεσκοποῦντο. τά τε γοῦν σώματα αὐτοῖς μεγάλα τε ὑπερφυῶς καὶ τεθωρακισμένα ἐς τὸ ἀκριβὲς κατενόουν, καὶ τὴν ἵππον δὲ ἥκιστα δρομικὴν οὖσαν, ἔτι τε ἀταξίᾳ πολλῇ ἐς τὴν ὁδὸν κεχρημένους ἰδόντες, εὐχείρωτόν τε Ῥωμαίοις τὴν στρατιὰν αὐτοῖς ἔσεσθαι ὑπειλήφασι ἐπιστήμῃ συμπλεκομένοις, καὶ ἐπὶ βασιλέα πέμψαντες ταῦτά τε ἐδήλουν καὶ ἀνεπυνθάνοντο τὸ πρακτέον. ὁ δὲ τὸ τῶν βαρβάρων καὶ ἔτι εὐλαβούμενος πρόσχημα, φημὶ δὴ τὴν ἐπὶ Παλαιστίνην δῆθεν πορείαν, ὤκνει διὰ τοῦτο τὴν ἐπιχείρησιν, ἐκδηλότερόν τι νεωτερίσειν αὐτοὺς προσδεχόμενος. βασιλεὺς μὲν οὖν οὕτω γνώμης εἶχεν. οἱ δὲ βάρβαροι ὁδῷ ἰόν-

цал неверността им. Същевременно ги посъветвал, ако не искат да изпаднат в явна беда, да отидат на пролива[1] до Абидос[2] и оттам веднага да преминат морето. Но като не могъл да ги убеди с такива думи, Андроник безуспешно се завърнал в Цариград. А те се събрали на съвет и разгледали настоящото положение на работите. И тъй, като решили да се насочат към Цариград, потеглили оттам и продължили по-нататък пътя си. Но и след поражението си те все пак били не по-малко дръзки от преди: безпощадно унищожавали стадата и избивали мнозина от ромеите, които им оказвали съпротива. И оттук нататък военните действия се водели съвсем открито. Когато узнал това, императорът решил, че е необходимо и самият той да се приготви. Веднага засилил охраната на Цариград с войскови части, едни от които се били разположили на стан пред градските стени, а други пребивавали в самия град. Освен това императорът изпратил Василий, наречен още Цикандил и който се прославил с многото си борби и сражения на Изток срещу тамошните варвари, заедно с Прозух, за когото вече споменах и който бил турк по произход, но получил ромейско възпитание и образование, да застанат в засада заедно с отредите си при мястото, наречено Лонги. Той им заръчал, щом аламаните отново се опитат да вършат беззакония, да излязат насреща им според обстоятелствата. След като пристигнали на определеното място, те забелязали многочислеността на аламаните и найгрижливо разузнавали дали има ред или безредие във войската им. Точно забелязали и това, че телата им са прекомерно едри и покрити с броня. Като видели, че конницата им е твърде мъчноподвижна и върви доста разпръснато, те разбрали, че войската им ще бъде лесно преодолима за ромеите, ако самите ромеи ги нападнат с умение. Изпратили хора при императора, уведомили го за всичко това и запитали какво трябва да направят. А императорът все още следял с предпазливост намеренията на варварите, т. е. именно похода им към Палестина, и поради това се колебаел да предприеме нападение и изчаквал, докато предприемат по-открити действия. На такова мнение бил прочее императорът. А варварите продължавали пътя си и щом като пристигнали в равнините при

[1] Дарданелите. [2] Град Абидос се намирал на малоазийския бряг на Хелеспонт (Дарданелитве) в областта Троада.

τες, ἐπειδὴ ἐς τὰς ἐπὶ Χοιροβάκχων παρῆλθον πεδιάδας (ὑπτιάζει γὰρ ἐνταῦθα ὁ χῶρος καὶ πόαν δαψιλῆ μάλιστα ἐς τὰς ἵππων παρέχεται νομάς), ἐνταῦθα ηὐλίζοντο. ἔνθα τι δυστύχημα λόγου κρεῖσσον αὐτοῖς ξυνενεχθῆναι λέγεται, ἐξ οὗπερ ἄν τις εἰκότως στοχάσαιτο μηνῖσαι τὸ θεῖον αὐτοῖς, τούς τε ὅρκους ἠδικηκόσι καὶ πολλῇ τῇ ἐς τοὺς ὁμοθρήσκους αὐτοῖς καὶ μηδὲν ἠδικηκότας ἀνθρώπους ἀπανθρωπίᾳ κεχρημένοις. ὄμβρου γὰρ ἐξαισίου καταρραγέντος ἀθρόον οἱ τὸν χῶρον ἐκεῖνον παραρρέοντες ποταμοί, ὧν ὁ μὲν Μέλας, ἅτερος δὲ Ἀθύρας πρὸς τῶν ἐγχωρίων ὠνόμασται, πολλῷ τοῦ συνήθους μᾶλλον ἀνοιδήσαντες μέτρου ἐπὶ πλεῖστόν τε τοῦ πεδίου προχυθέντες πολύ τι μέρος τοῦ Ἀλαμανῶν στρατεύματος αὐτοῖς ἵπποις καὶ ὅπλοις καὶ αὐταῖς παρέσυραν ταῖς σκηναῖς ἐπὶ θάλασσάν τε ἀπὸ γῆς ἐξέπτυσαν φέροντες. ὃ πυθόμενος βασιλεὺς ἐλέῳ τε τῷ εἰς τοὺς ἀνθρώπους τὴν ψυχὴν πεπονθὼς ἄνδρας τῶν ἐπὶ δόξης παραμυθησομένους Κορράδῳ τὴν συμφορὰν ἔστελλε, μετεπέμπετό τε αὐτὸν ὡς λόγου τε κοινωνήσῃ καὶ περὶ μεγάλων αὐτῷ συνδιασκέψαιτο. ὁ δὲ καὶ εἰσέτι μηδαμῇ καθυφεῖναι θέλων τοῦ γαύρου, ὑπαντᾶν αὐτῷ ἐς Βυζάντιον προάγοντι τὸν αὐτοκράτορα ἠξίου, τοιούτων τέ τινων ἄλλων ὁμιλίαν τὴν ἑαυτοῦ σταθμώμενος ἦν. ἐφ᾽ οἷς ὁ βασιλεὺς ἀλαζονείαν ὁρῶν οὐκ ἔχουσαν αὐτοῦ καταγνοὺς τοῦ λοιποῦ παρεῖδε. Κορράδος δὲ πανστρατὶ ὡς ἐπὶ Βυζάντιον ἐφέρετο· ἐν δὲ τῷ καταντικρὺ τειχέων βασιλικῷ γεγονὼς ἐνδιαιτήματι, ὃ Φιλοπάτιον ὀνομάζουσιν οὐκ οἶδα εἴτε τὴν φίλην αἰνιττόμενοι διατριβὴν (ἄνεσιν γάρ τινα παρέχεται καὶ φροντίδων ἀπαλλαγὴν τοῖς ἐκ τῶν ἀστικῶν ταράχων ἐνθάδε ἀπαλλασσομένοις) εἴτε καὶ τὴν φύλλοις κομῶσαν πόαν τε δαψιλῆ ἀνιεῖσαν (ἀμφιλαφὴς γὰρ ὁ χῶρος καὶ ἐπίχλοον ἁπανταχῇ φέρει τὸ πρόσωπον), ἐντεῦθεν τῷ περιβόλῳ προσεῖχε τοῦ ἄστεος. τούς τε οὖν πύργους ἐς ὕψος ἱκανῶς ἀνατρέχοντας κατανοήσας καὶ τάφρου μέγα τι χρῆμα βαθείας κύκλῳ περιθεούσης ἰδὼν ἐν θαύματι μεγάλῳ ἐγένετο. ἐπεὶ δὲ καὶ γυναικῶν ὅμιλον καὶ δῆμον ἄνοπλόν τινα ἀπερίεργον ἐπὶ τῶν προπυργίων ἱστῶτα εἶδε (πάντες γὰρ ὅσοι πολεμίων εἰώθασι πόνων γεύεσθαι, οἱ μὲν πρὸς τοῖς τείχεσιν ἔνδον φρουροῦντες ἐκάθητο, οἱ δὲ πρὸ τοῦ περιβόλου τῆς πόλεως ἔστασαν χειρῶν ἄρχειν Ἀλαμανοὺς περιμένοντες), ἐπειδὴ γοῦν ταῦτα κατενόει,

Хировакхи[1] (наистина местността там се снишава и дава изобилна трева за паша на конете), разположили се там на стан. Разказва се, че там им се случило неизразимо голямо нещастие. От това с право би могло да се заключи, че господ се е разгневил над тях, тъй като те нарушили клетвите си и постъпили с голямо безчовечие спрямо свои едноверци, които с нищо не им били напакостили. И тъй поради излелия се необикновено силен дъжд реките, които текат покрай онова място и едната от които е наречена от местните жители Мелас[2], а другата Атира[3], придошли извънредно много. Те залели по-голямата част от полето, завлекли голяма част от аламанската войска заедно с конете, оръжието и палатките им и влачейки ги така, ги изхвърлили чак в морето. Когато узнал това, императорът, обхванат от състрадание към тях, изпратил знатни мъже, за да утешат Конрад за злополуката, и го поканил да поговорят заедно и да разменят мисли за някои важни работи. А онзи все още не искал да изостави гордостта си, предлагал византийският самодържец да го посрещне, когато идва в Цариград, и определял и други такива церемонии като условие за своята среща. По всичко това императорът разбрал, че неговата надменност е безгранична, и не пожелал повече да се занимава с него. Конрад пък с цялата си войска се придвижил към Цариград. Той пристигнал до императорския дворец, който се намира срещу градската стена. Този дворец се нарича Филопатион и не зная дали с това название ие загатват за приятното му местоположение (защото той предлага отдих и освобождение от грижи на тия, които търсят тук успокоение от градския шум) или пък напомнят за изобилната зеленина и за буйната трева, която расте на това място (мястото е просторно и навсякъде покрито със зеленина). Оттук Конрад насочил вниманието си към околовръстната градска стена. Като забелязал издигащите се доста нависоко кули и като видял твърде дълбокия ров, който заобикаля града околовръст, той много се зачудил. Видял и множество жени и тълпа невъоръжени хора спокойно да стоят на укрепленията (защото всички, които носели военна служба, отчасти се били разположили на стража отвътре, покрай стената, а друга част от тях стояли пред градската стена и очаквали аламаните първи да почнат борбата). След като забелязал всичко това, той

[1] Хировакхи — град-крепост северно от езерото Буюкчекмедже, може би дн. Чаталджа. [2] Река Мелас (Черна), днешната Карасу. [3] Атира — малка рекичка, която се влива в р. Мелас.

αὐτίκα ὅπερ ἦν περιουσίᾳ δυνάμεως ἀνέπληκτον τὴν μεῖναι ἐννοήσας, ἐνθένδεν ἀπηλλάττετο, τήν τε γέφυραν, ἣ τὴν ὑποκειμένην ὡς ἂν εἴποι τις ποταμοθάλασσαν ζεύγνυσι, ταχὺ διαβὰς ἐπί τι τῶν ἀντιπέρας Βυζαντίου κατήγετο προαστεῖον, ὃ Πικριδίον ὠνόμασται.

Τοῦτο μὲν δὴ τοιοῦτον. Κορράδος δὲ ἐνταῦθα γεγονὼς λόγους ἐς βασιλέα οὐ πόρρω θρύψεως ὄντας πολλῆς ἔπεμψεν. εἶχε δὲ ὧδε τὰ μηνύματα. „χρὴ βασιλεῦ ἐπὶ παντὶ τόν γε νοῦν ἔχοντα οὐ τὸ πρᾶγμα σκοπεῖν καθ᾽ ἑαυτό, τὸν δὲ σκοπὸν ὅθεν γένοιτο πολυπραγμονεῖν μάλιστα. ὃ γὰρ γνώμης ἤρτηταί τινος, οὔτε ἀγαθὸν ὂν ἐπαινεῖται πολλάκις, οὔτε φαῦλον φαινόμενον ψέγεσθαι πέφυκε. καί τις πρὸς ἐχθρῶν μὲν ἀγαθοῦ παρὰ γνώμην ἐνίοτε τυγχάνει, φλαύρου δ᾽ οὐ πρὸς τῶν φίλων πειρᾶταί τινος. μὴ τοίνυν τῶν τῷ πλήθει τῆς ἡμετέρας στρατιᾶς χθὲς περὶ τὴν χώραν ἡμαρτημένων τὴν σὴν τάς αἰτίας ἐφ᾽ ἡμᾶς ἄγε, μηδὲ διὰ ταῦτα χαλέπαινε, ἐπεὶ οὐχ ἡμεῖς αὐτοί σοι τῶν τοιούτων καθέσταμεν αἴτοι ἡ δὲ τοῦ πλήθους φορὰ ἀλόγως ἔνθα ἔτυχε φερομένη αὐτοματίζειν οἶδε ταυτί. στρατεύματος γὰρ ξένου καὶ ἐπήλυδος τὸ μὲν ἐπὶ ἱστορίᾳ τῆς χώρας τὸ δὲ ἐπὶ πορισμῷ τῶν ἀναγκαίων πολλαχόσε πλανωμένου καὶ περιτρέχοντος, τοιαῦτα ἑκατέρωθεν ἁμαρτάνεσθαι ἀπεικὸς οἶμαι οὐδέν." Ἀλαμανοὶ μὲν τοσαῦτα εἶπον. βασιλεὺς δὲ εἰρωνείαν τὸ πρᾶγμα λογισάμενος ἀμείβετο ὧδε. „οὐδὲ τὴν ἡμετέραν λέληθε βασιλείαν ἡ τοῦ πλήθους ῥοπὴ δυσάγωγόν τι οὖσα καὶ δυσήνιον ἀεὶ χρῆμα. ἀμέλει καὶ διὰ φροντίδας ἡμῖν ἦν, πῶς ἂν διὰ τῆς ἡμετέρας ἀβλαβῶς διελθεῖν ὑμᾶς γένοιτο ξένους καὶ ἐπήλυδας ἄνδρας καὶ οὐδὲν ὅ τι ἀδικεῖν ἡμᾶς οὔτε ἐπαγγελλομένους οὔτε ἄλλως δεδυνημένους, ὡς μὴ ξενίαν ἀδικοῦντες δόξαν οὐκ ἀγαθὴν παρὰ ἀνθρώποις ἀπενεγκώμεθα. ἐπεὶ δ᾽ ἡμῖν ἅτε ξυνετωτάτοις οὖσι καὶ τὰς τῶν πραγμάτων φύσεις καλῶς ἐξετάζειν ἐπισταμένοις ἀνέγκλητα εἶναι δήπου τὰ

веднага разбрал, че градът си остава неуязвим поради голямата си сила, както било и в действителност. Тогава Конрад се оттеглил оттам, бързо преминал по моста, който минавал през намиращата се там „морска река", тъй да се каже, и се отправил към едно от разположените срещу Цариград предградия, което се нарича Пикридион[1].

Така се развивали събитията. Като пристигнал на онова място, Конрад изпратил до императора писмо[2], в което изразявал известна превзетост. Писмото имало следното съдържание: „Необходимо е, императоре, разумният човек при всички случаи да разпорежда нещата не сами за себе си, а да се старае да изследва най-вече тяхната целесъобразност. Защото, когато съдим по предубеждение, често пъти ние не одобряваме нещата дори когато те са добри, а не ги порицаваме, когато са лоши. По такъв начин понякога някои против очакването си получават добро от страна на враговете си, а пък изпитват зло от страна на приятелите си. Прочее недей да стоварваш върху нас вината за греховете, които неотдавна бе извършило множество от нашата войска спрямо твоята страна, и не се гневи поради това, тъй като ние самите не сме виновни пред тебе заради всичко това. Буйната, постъпваща безразсъдно тълпа извърши това. Когато една чужда и нахълтваща войска броди и обикаля на много места било за да опознае страната, било за да си достави необходимите припаси, ако поради тия две причини бъдат извършени такива грешки, в това, струва ми се, няма нищо странно." Такива неща казаха аламаните. А императорът счел, че всичко това са преструвки, и отговорил по следния начин: „И за нашето императорско величество никак не е тайна, че напорът на тълпата винаги е бил нещо, което трудно се ръководи и мъчно се обуздава. Затова и ние бяхме загрижени как би могло да стане, щото вие, мъже чужденци и пришълци, които нито възнамерявате, нито въобще сте в състояние да ни напакостите в нещо, да преминете невредими през нашата земя, за да не би, като накърним гостоприемството, да си спечелим лошо име между хората. А тъй като вие, които сте твърде съобразителни и умеете добре да вниквате в същността на нещата, че ония деяния са съвсем

[1] Така се наричала тази местност по името на манастира Пикридион, построен на Златния рог, между днешното село Хаскьой и Касим паша, от Пикридий, придворен на императрица Ирина, майка на Константин VI. Срв. *Г. Ласкин*, Георгий Кодин о древностях Константинополя, Киев, 1905, стр. 147; *R. Janin*, Constantinople byzantine, Paris, 1950, s. v. [2] Достоверността на кореспонденцията между Конрад и император Мануил, в която императорът отправя явни закани към кръстоносците, се оспорва. Вж. *М. М. Фрейденберг*, Труд Йоанна Киннама, стр. 43 и посочената там литература.

τοιαῦτα δοκεῖ, ἡμεῖς καὶ χάριτας ὑμῖν ὀφλομεν. οὐ γὰρ ἔτι φροντιοῦμεν ὅπως ἂν τὴν ὀχλικὴν τῶν ἡμετέρων ἀναχαιτίσωμεν ὁρμήν, ἀλλ᾽ ἐπιρρίψομεν ταῦτα τῇ τοῦ πλήθους ἀλογιστίᾳ, καθὼς ὑμεῖς εὖ ποιοῦντες ἡμᾶς ἐδιδάξατε. συνοίσει τοίνυν ὑμῖν μηκέτι σποράδας τὴν ὁδὸν ἰέναι, μηδὲ οὕτως ἐπὶ ξένης πλανᾶσθαι. ἐπειδὴ γὰρ οὕτω δέδοκται, καὶ ἀνεῖται τοῖς πλήθεσι παρ᾽ ἀμφοτέρων ταῖς οἰκείαις χρῆσθαι ὁρμαῖς, πολλὰ πρὸς αὐτοχθόνων πεπονθέναι τοὺς ξένους εἰκός.“ ταῦτα εἰπὼν αὐτοὺς μὲν ἀπεπέμψατο, τὸν δὲ Ῥωμαίων στρατὸν πλήθει μὲν παρὰ πολὺ τοῦ τῶν βαρβάρων ἐλασσούμενον εἰδώς, ἐπιστήμῃ δὲ στρατιωτικῇ καὶ καρτερίᾳ τῇ περὶ τὰς μάχας τοσούτῳ δὴ μᾶλλον πλεονεκτοῦντα, τοιάδε ἐνενόει. τὸν Προσοὺχ καὶ τὸν Τζικανδύλην καὶ πλείστους ἄλλους τῶν Ῥωμαίων στρατηγῶν ἐκέλευε στράτευμα ἐπαγομένους ἱκανὸν ἀντιμετώπους Ἀλαμανοῖς ἵστασθαι. τάξασθαι μέντοι ὧδε. τὸ μὲν ἀπολεμώτερον καὶ ὥσπερ ἀγελαῖον τοῦ στρατοῦ πόρρωθεν καὶ ὡς ἀπὸ σημείων στῆναι τεττάρων· μετὰ δὲ τοῦτο ὅσον ὁπλιτικὸν καὶ κατάφρακτον· ἑξῆς δὲ τοὺς ὅσοι ταχυπόδων ἐπέβαινον ἵππων. τελευταῖον δὲ καὶ μετὰ μέτωπον Σκύθας ἅμα Πέρσαις καὶ τὸ Ῥωμαίων τοξικόν. Ῥωμαῖοι μὲν οὖν κατὰ ταῦτα ἐποίουν, Ἀλαμανοὶ δὲ ὡς εἶδον θυμῷ πολλῷ καὶ θορύβῳ ἐχόμενοι δρόμῳ ἐχώρουν. συνίσταται τοίνυν μάχη καρτερά, καὶ φόνος Ἀλαμανῶν πολὺς γίνεται. Ῥωμαῖοι γὰρ σὺν ἐπιστήμῃ ἐπιόντας αὐτοὺς ὑφιστάμενοι ἔκτεινον. Κορράδος δὲ οὔπω τε πεπυσμένος τῶν γεγονότων σοβαρὸς ἔτι καθῆστο καὶ ἐπὶ μακραῖς ὠχεῖτο ἐλπίσιν. ὁ τοίνυν βασιλεὺς τῆς προτέρας αὐτὸν ἐπικερτομῆσαι θέλων ὑπεροψίας ἀπέστειλε τοιάδε. „ἔδει μὲν ἡμᾶς ἐκεῖνο καλῶς εἰδότας, ὡς οὔτε ἵππος κρείττων φερόμενος χαλινοῦ ὀνήσειεν ἂν τὸν ἐπιβάτην, εἰ μὴ καὶ κατὰ κρημνοῦ τοῦτον πολλάκις συγκατενέγκοι, καὶ στράτευμα δὲ ἐκεῖνο, ὃ μὴ τῶν στρατηγούντων ἐπαΐοι, κινδύνοις περιβάλλειν ὡς ἐπίπαν οἶδε τοὺς ἄρχοντας, μὴ οὕτω στρατεύμασιν ἐφήσειν τοῖς ἑαυτῶν πρὸς τὰς οἰκείας ἑκάτερα φέρεσθαι ὁρμάς. ἐπεὶ δ᾽ οὐκ οὐδ᾽ ὅ τι παθὼν σύ τε πρότερον κατωλιγώρηκας τούτου καὶ τὸ ἡμέτερον δὲ κράτος

безупречни, ние ви дължим и благодарност за това. Така че повече няма да се грижим за това, как да въздържаме влеченията на нашето простолюдие, но ще ги отдадем на безразсъдността на множеството, точно както вие ни научихте и с това ни направихте добро. Във всеки случай полезно ще бъде за вас занапред да не вървите разпръснати, нито да се скитате по такъв начин в чуждата вам страна. А като пък сте решили така да постъпвате и ако е позволено на множеството в двете войски да се отдава на собствения си устрем, естествено е пришълците да понесат много беди от страна на местните жители.“ С тези думи той отправил назад пратениците. А като знаел, че ромейската войска по количество е много помалка от войската на варварите, но по военна опитност и по издръжливост в сраженията толкова повече я превъзхожда, императорът намислил следното. Той заповядал Прозух, Цикандил и много други ромейски военачалници да изведат достатъчно голяма войска и да застанат с лице срещу аламаните. Освен това [заръчал] да се построят по следния начин. По-малко бойките и по-неопитните войници да застанат по-далеч от войската — на около четири мили. След тях да се наредят тежко въоръжените и облечени в брони отреди, след това — бързоподвижната конница; най-сетне като челна верига да застанат скити[1] заедно с турци и ромейски стрелци. Ромеите така и постъпили. Аламаните веднага, щом ги съгледали, със силен устрем и шумно се втурнали срещу тях. Тогава се завързало ожесточено сражение, в което били избити множество аламани. Действително ромеите посрещнали умело тяхното нападение и ги избивали. А Конрад, който още не бил узнал нищо от станалото, все още продължавал да бъде надменен и се вдъхновявал от големи надежди. Императорът пък, като искал да го подиграе заради предишното му високомерие, му изпратил следното писмо: „Трябваше ние добре да знаем, че не би принесъл полза на своя ездач кон, който надвива юздата си — а дори често би го завлякъл надолу по стръмна пропаст, — и че оная войска, която не слуша военачалниците си, обикновено излага на опасност своите вождове. Тогава ние нямаше да позволим на войските да се увличат подир собствените си желания. Но тъй като, не знаем по каква причина, ти пръв пренебрегна всичко това, пък накара и наше императорско величество,

[1] Не може да се каже със сигурност кои именно византийски наемници авторът в случая нарича скити.

ὅσα καὶ φίλῳ προσφερόμενον τῆς αὐτῆς γεγονέναι σοι γνώμης ἀνέπεισας ἤδη συλλόγισαι τίνα ὑμῖν ἡ τοῦ πλήθους προὐξένησεν ἐλευθερία, πυνθάνομαι γὰρ ὡς ὀλίγος Ῥωμαίων στρατὸς Ἀλαμανῶν πλήθει οὐκ εὐκαταφρονήτῳ περιτυχὼν κακῶς αὐτὸ διέθετο. τὸ γὰρ αὐτόχθον καὶ ἐγχώριον ἐπικρατέστερον ὡς ἐπίπαν τῶν ἐπηλύδων καὶ ξένων φιλεῖ γίνεσθαι. ἡμῖν δὲ οὐδὲ κολάζειν ἔξεσται τοῖς πλήθεσι τὴν ἀσέβειαν. πῶς γάρ; οἷς καθάπαξ πρὸς γνώμην ἐνέδομεν φέρεσθαι τὴν αὐτῶν. εἰ τοίνυν αὐτό σοι δοκεῖ, ἀνθεκτέον καὶ πάλιν ἡνίας ἀμφοτέρους τῆς ἀρχικῆς καὶ ἀνασειραστέον τοῖς στρατεύμασι τὰς ὁρμάς. μὴ δοκοῦν δέ σοι, ταῦτα μὲν μενετέον ἐπὶ τῶν παρόντων. τό γε μὴν πεπραγμένον σαφῶς ἡμῖν δεδηλώσθω.“

Τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἐτελεύτα. Κορράδος δὲ οὔπω τῶν Ἀλαμανοῖς συμπεσόντων ἐνωτισάμενος οὐδὲν τούτων μὲν οὐδ᾽ ἐπεστράφθαι τὸ παράπαν ἐδόκει. δρόμωνα δὲ τὸν βασίλειον καὶ τὰς συνήθεις σταλῆναί οἱ πρὸς βασιλέως ἠξίου τριήρεις, ἐφ᾽ ᾧ πρὸς τὴν διάβασιν αὐτοῖς χρήσαιτο. καὶ εἰ μὴ θᾶττον ἀφίκοντο πρὸς αὐτόν, ἠπείλει πολλαῖς ἐς νέωτα μυριάσι τὴν πόλιν περιβαλεῖν. πρὸς ὃ χαλεπήνας ὁ βασιλεὺς οὐκέτι μέχρις εἰρωνείας τὸν ἀλαζόνα ἀμείβεσθαι ἤθελεν. ὅθεν καὶ πικροτάτοις αὐτοῦ καθίκετο λόγοις ἐπιστείλας οὑτωσί. „οὐ τῷ πλήθει τὰ πράγματα κρίνειν εἰώθασιν οἷς καὶ σμικρὰ συνορᾶν ἔνεστι, ποιότητι δὲ μᾶλλον καὶ ταῖς ἐντεῦθεν ὑπερβολαῖς τε καὶ ἐλλείψεσιν. οὐκοῦν καὶ τοὺς Ἄρεος ἀθλητὰς οὐ πλήθει διαιρετέον, ἀλλ᾽ ἀρετῇ καὶ πόνοις καὶ τῇ περὶ ταῦτα ἐπιστήμῃ. ἂν καί σοι τοίνυν πλεῖστον ἀκολουθῇ στράτευμα, ἀλλὰ πρὸς τῷ μὴ πολλῷ τὸ ἡμεδαπὸν ὑπεραίρειν, καίτοι τοῦ πλείστου πολλαχῇ τῆς Ῥωμαίων διῃρημένου ἀρχῆς, ἀγελαῖόν ἐστι καὶ τὸ πλεῖστον ἀπειροπόλεμον· προβάτων δὲ ἀγέλαι κἂν εἰς μυριστύας ὅλας ἀριθμοῖντο σχολῇ ἐὰν ἀνάσχοιντο λέοντος ἐπιπηδῶντος αὐταῖς. ἢ οὐκ οἶσθα, ὅτι καθαπερεὶ στρουθίον ὑπὸ ταῖς ἡμετέραις γεγένησαι ἤδη παλάμαις; κἂν θελήσωμεν, οὐκ ἂν φθάνοις αὐτίκα παραπολλύμενος. ἐννόησον ὡς ἐκεῖνοι τὴν χώραν

което се отнасяше с тебе като с приятел, да постъпи според твоите разбирания, сега вече пресметни сам каква полза ви принесе необуздаността на множеството. Научавам се впрочем, че една малка ромейска войска се натъкнала на доста голямо множество алавани и постъпила зле с тях. Обикновено местните, коренните жители имат винаги надмощие над пришълците и чужденците. А нам не ще ни бъде позволено да накажем безчинството на тълпите. Та как ще накажем ония, на които веднъж сме позволили да действуват по своя воля? Ако пък считаш, че трябва да сторим това, ние отново трябва да въздържаме и двете страни с юздите на ръководството и да обуздаваме устрема на войските си. Ако ти не споделяш това мнение, ще трябва да си останем при сегашното положение на нещата. Във всеки случай трябва да сме наясно по това, което е извършено.“

Така завършвало писмото на императора. А Конрад, който още не бе узнал за онова, което се бе случило с аламаните, съвсем не изглеждал да е променил предишния си начин на действие. Той настоявал императорът да му изпрати бързоходния си кораб и обикновени триери, за да ги употреби при преминаването през пролива. При това заплашвал, че на следната година ще обсади града с многохилядна войска, ако корабите не пристигнат по-скоро при него. Затова императорът се разгневил и не искал повече да отговаря дори с ирония на тоя нахалник. Ето защо той го уязвил с най-остри думи, като му изпратил следното писмо: „На ония, които са в състояние поне малко да разбират положението, не е свойствено да съдят за нещата по тяхното количество, но по-скоро по тяхната същност и по произтичащите от нея предимства и недостатъци. Така и за борците на Ареса[1] трябва да се съди не по тяхното количество, а по добродетелите им, по подвизите им и по умението им във военното дело. Макар че след тебе върви огромна войска, а нашата местна войска е твърде малка, тъй като по-голямата част от военната сила е разпределена на много места в ромейската държава, все пак твоята войска е като стадо и в голяма степен е небоеспособна. А стадата овце, ако и да се изчисляват на десетки хиляди, все пак трудно биха се задържали, когато лъвът скочи върху тях. Или ти не знаеш, че вече си попаднал като птичка в нашите ръце и че веднага ще загинеш, ако ние пожелаем това? Помис-

[1] Арес — древногръцкият бог на войната (римският Марс).

κατέχουσι ταύτην, ὧν οἱ πρόγονοι πᾶσαν τὴν γῆν περιῆλθον τοῖς ὅπλοις, ὑμῶν τε αὐτῶν καὶ λοιπῶν ἁπάντων τῶν ὑφ' ἡλίῳ ἐκυρίευσαν ἐθνῶν. ταῦτα ὑπολογίζεσθαί σε χρεὼν καὶ προσέτι ὡς οὔτε νεώς ποτε ἐπιβήσῃ τῆς βασιλείου οὔτε τι ὧν ᾔτησας ἐπιτελὲς ἔσται σοι παρ' ἡμῶν, ἀλλά σε τὴν αὐτὴν καὶ πάλιν οἱ τῶν ἵππων οἴσουσι πόδες. καί οὐ δήπου μεμπτέοι πάντως ἡμεῖς. εἰ μὴ τοῖς ἀδικεῖν βουλομένοις ῥᾴστους ποιοῦμεν ἑαυτούς. οὐ γὰρ ταὐτὸν ἀδικεῖν καὶ ἀμύνεσθαι· ἀλλὰ τὸ μὲν γνώμης ἤρτηται φαύλης, τῷ δὲ προηγεῖται πάντως ἀσφάλεια. ἡμᾶς δὲ καὶ προλαβὸν ἀξιοῖ τὸ ὑπήκοον ἅπερ ὅσον οὐκ ἤδη Πέρσαις ἀποκερδανθήσεται τοῖς ἐν γειτόνων, ταῦτα δὴ Ῥωμαίους ἀμαχητὶ κτήσεσθαι. ὃ τοίνυν ἀξιούντων οὐκ ἠνεσχόμεθα τῶν ἡμετέρων, τοῦτο νῦν σοῦ προτρεπομένου αὐτίκα ποιεῖν κινδυνεύομεν. ταῦτα Κορράδος ἐνωτισάμενος καὶ ἅμα πυθόμενος ἅπερ ἔναγχος δυστυχῶς συνέπεσεν Ἀλαμανοῖς, λεμβάδιόν τι λυπρὸν αὐτοῦ που, περὶ τὴν θαλάσσης ἀνειλκυσμένον ἀκτὴν ἀναβάς, τὸν Δαμάλεώς τε πορθμὸν διέβη καὶ ἐπὶ τῆς περαίας θᾶττον ἐγένετο, ὀλιγωρίας τινὸς βαρβαρικῆς ἐπειγούσης τὸν ἄνθρωπον. φιλεῖ γὰρ τὸ βάρβαρον εὐημεροῦν μὲν ὑπὲρ μέτρον ἐπαίρεσθαι καὶ αὐχεῖν, δυστυχοῦν δὲ καταβάλλεσθαί τε πλέον ἢ προσήκει καὶ ταπεινοῦσθαι παρὰ τὸ μέτριον. βασιλεὺς δὲ τοῦ καὶ εἰσέτι μᾶλον κατασπᾶν αὐτῷ τὴν ὀφρῦν προνοῶν, τοιάδε ἐποίει. τῶν τινας Ῥωμαίων εἰς τὴν κατόπιν ἰοῦσαν ἐκπέμψας Ἀλαμανῶν στρατιὰν ἀριθμοῦ κρείσσω ἀγγελλομένους εἶναι χρήμασι τῆς ἐς Κορράδον ἀποσχέσθαι ἀνέπειθεν εὐνοίας. ὁ Κορράδος ἐνωτισάμενος οὐκ έτι ἐκεῖνος ὁ πρώην ὑπέροφρυς ἦν. πέμψας δὲ πρὸς βασιλέα ᾐτεῖτο σταλῆναί οἱ Ῥωμαίων τινὰ ὁδοῦ τε αὐτῷ καθηγησόμενον καὶ ἐν τῷ ἀσφαλεῖ παραπέμψοντα. ἔσταλται τοίνυν ὁ τὸ ἀκολούθου εἰς ἐκείνην τὴν ἡμέραν λειτούργημα ἐκπληρῶν. ἐπιτέτραπτο δέ οἱ καὶ συμμαχίας πέρι Κορράδῳ διειλέχθαι. ἦν ἐπειδὴ πολλῷ τῷ διαλλάσσοντι Ῥωμαίους καὶ Ἀλαμανοὺς ξυμβαίνει μάχεσθαι, τὴν μὲν βασιλεῖ δοίη, πολλῷ δὲ ἀντιλάβοι

ли, че тая страна владеят ония, които пребродиха с оръжие цялата земя и властваха над вас самите и над всички останали народи под слънцето. Това ти трябва да вземеш пред вид, а още и това, че нито ще стъпиш някога на императорския кораб, нито пък нещо от това, което искаш, ще ти бъде изпълнено от нас; нозете на твоите коне ще те отнесат обратно по същия път. Наистина ние съвсем не бива да бъдем упрекнати за това, че не сме отстъпчиви към тия, които искат да постъпят несправедливо с нас. Не е едно и също нещо да постъпиш несправедливо и да се защищаваш: едното се дължи на лош умисъл, а другото се налага от предпазливост. А нас и от по-преди ни молят поданиците ни да осигурим на ромеите възможност свободно да стопанисват ония области, които не ще бъдат вече владение на съседните турци. И това, което не допуснахме да стане въпреки молбите на нашите хора, сега вече, подтикнати от тебе, веднага бихме го извършили." След като чул това и същевременно узнал за бедата, която неотдавна бе сполетяла аламаните, Конрад се качил на една жалка лодка, която била довлечена на същото онова място до морския бряг, преминал през Дамалийския проток[1] и бързо пристигнал на отвъдния бряг. Някакво варварско малодушие обзело тоя човек. И наистина обикновено варварите, когато са в благоденствие, прекалено се възгордяват и високомерничат, а когато търпят несполуки, падат духом повече, отколкото трябва, и унижат прекомерно. А императорът, като възнамерявал още повече да скърши гордостта му, извършил следното. Той изпратил някои ромеи при идващата отзад аламанска войска, за която било съобщено, че била многочислена, и с подкуп се опитал да я върне от предаността ѝ към Конрада. Щом Конрад узнал това, престанал вече да бъде оня предишен горделивец. Той изпратил свои хора при императора с молба да му бъде изпратен някой от ромеите, който да му служи за водач по пътя и да го преведе през безопасни места. И наистина бил изпратен онзи, който по онова време изпълнявал длъжността аколут[2]. На него било възложено да преговаря с Конрад и за сключване на съюз. И тъй като условията на воюване за ромеи и аламани били твърде различни, ако Конрад сключел такъв съюз с императора, в замяна на това би получил много повече:

[1] Дамалийски проток се нарича Босфорът, по името на Дамалис, селище във Византия на малоазийския бряг на Босфора. [2] Аколут (букв. придружник) — началник на варягите секироносци от императорските телохранители, които придружавали императора при тържествени процесии. Такъв е Стефан, чието име се споменава по-долу.

πλείονα, εἴ γε αὐτῷ βουλομένῳ ἔσται μάχης κατὰ Περσῶν βασιλεῖ κοινωνῆσαι. ὁδῶν τε σφίσι προκειμένων δυοῖν, ὁποτέρᾳ ἂν αὐτὸς βούλοιτο ἰέναι, ταύτην δὴ ἑλέσθαι. Στέφανος μὲν οὖν Κορράδῳ ταῦτα ἀπάγγελλεν. ὁ δὲ ἐς βουλὴν ξὺν τοῖς αὐτοῦ καταστὰς πρὸς μὲν τὴν ὁμαιχμίαν ἀπεῖπεν, ὁδὸν δὲ ἣ Φιλομήλιον ἄγει αὐτὸς εἵλετο.

Ἀλαμανοὶ μὲν οὖν ἐν τούτοις ἦσαν. ὁ δὲ τῶν Γερμανῶν ῥὴξ (ἠγγέλλετο γὰρ ἤδη τὸν Ἴστρον διαβὰς προσωτέρω χωρεῖν) οὐκέτι κατὰ Κορράδον ὑπὲρ τὸ δέον ἔγνω φρονηματίζεσθαι· τούς τε γὰρ ἐκ βασιλέως ἐπ᾽ αὐτὸν ἥκοντας, φημὶ Μιχαήλ τε σεβαστὸν τὸν Παλαιολόγον καὶ Μιχαὴλ ᾧ τὸ ἐπώνυμον Βρανᾶς ἔκειτο, ἄσμενός τε εἶδε καὶ χάριτας διὰ ταῦτα βασιλεῖ ὡμολόγει δῆλός τε ἦν μηδὲν εἰσέπειτα ἐς Ῥωμαίους κακουργήσων. εἴτε καὶ φύσει τοιοῦτον τῷ ἀνθρώπῳ τὸ ἦθος ἦν, λέγειν αὐτὸς οὐδαμῇ ἔχω. πλείονος δ᾽ οὖν διὰ ταῦτα τῆς βασιλέως παραπολαύων διετέλει δεξιώσεως. ἐπεὶ δὲ ἀγχοῦ Βυζαντίου ἤδη ἐγένετο, πρέσβεις ἐς βασιλέα πέμψας φιλίαν τε ἔτι μᾶλλον ὡμολόγει καὶ ἐπὶ μεγάλοις συμπράξειν αὐτῷ συνετίθετο· εἰ δὲ συνέσεσθαι ἀλλήλοις καὶ λόγου κοινωνήσειν ἐν παλατίῳ βουλητὸν αὐτῷ ἔσται, οὐδὲ τοῦτο παραλιπεῖν ἤθελε. βασιλεὺς δὲ ἤκουσε τῶν λόγων οὐκ ἀηδῶς καὶ σὺν πεποιθήσει ἀφικέσθαι τοῦτον ἐκέλευεν. εἰσελαύνοντι τοίνυν ἄνδρες ἐπήντων αὐτῷ ὅσοι τε κατὰ γένος καὶ τύχην βασιλεῖ ἤγγιζον καὶ ὅσοι τὰς ὑπερηφάνους τῷ τηνικάδε διεῖπον ἀρχάς, προπέμψοντές τε μεγαλοπρεπῶς αὐτὸν ἐς τὰ βασίλεια καὶ τὰ εἰκότα τιμήσοντες. ἐπειδή τε εἴσω τῶν ἀνακτόρων ἤδη ἐγένετο ἔνθα βασιλεὺς ἐπὶ τοῦ μετεώρου καθῆστο, χθαμαλή τις αὐτῷ ἐκομίζετο ἕδρα ἣν σελλίον ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, ἐφ᾽ ἧς καθιζήσας τὰ εἰκότα τε εἰπὼν καὶ ἀκούσας τότε μὲν ἐς τὸ πρὸ τοῦ περιβόλου ἀπηλλάττετο προάστειον, ὃ Φιλοπάτιον καθάπερ ἤδη ἔφην ὠνόμασται τοῖς πολλοῖς, ἐνταῦθα καταχθησόμενος· ὀλίγῳ δὲ ὕστερον καὶ ἐς τὰ πρὸς νότον τῆς πόλεως σὺν τῷ βασιλεῖ ἦλθεν ἀνάκτορα, ἱστορήσων ὅσα τε

той би могъл според желанието си да води война срещу турците в съюз с императора. При това на разположение на аламаните имало два пътя и той можел да избере тоя от тях, който сам би предпочел. Наистина Стефан съобщил всичко това на Конрад. А той, след като се посъветвал със своите хора, отказал да сключи съюз[1] и сам предпочел пътя, който води за Филомилион[2].

Така постъпили аламаните. А пък германският крал[3] — за него било съобщено, че вече преминал Дунава и напредвал понататък — нямал намерение да проявява такова прекалено високомерие като Конрад. Той приел любезно пратениците на императора, които били дошли при него, а именно севаст Михаил Палеолог и Михаил, по прякор Врана. По тоя начин той завързал приятелство с императора и било ясно, че и понататък не ще причини никакво зло на ромеите. Дали бил вече вразумен от това, което сполетяло Конрад, или пък такъв му бил характерът по природа, това сам не мога да кажа. Във всеки случай поради това той винаги се ползувал от особеното благоразположение на императора. А когато пък пристигнал вече близо до Цариград,[4] изпратил пратеници до императора. Той завързал още по-голямо приятелство с него и обещавал да му помага при важни случаи. Също така той не искал да пропусне случая да се срещне и да поговори с императора в двореца му, ако той пожелае това. Императорът с удоволствие изслушал тия слова и му заръчал да дойде при него с пълно доверие. Когато пък влизал в града, посрещнали го ония мъже, които по произход и по положение стояли близо до императора и които по онова време заемали висшите държавни длъжности. Те били дошли, за да го съпроводят тържествено до императорския дворец и да му окажат подобаващи почести. Когато вече влязъл вътре в двореца, где-то императорът седял на високо издигнат стол, донесли му нисък стол, наречен „села“ от хората, които говорят на латински. След като седнал на него, той водил подходящ разговор и след това се оттеглил в предградието, което се намира пред градските стени и обикновено се нарича Филопатион, както вече споменах, с намерение да отседне там. Малко по-късно той заедно с императора дошъл в дворците, разположени в южната част на града, за да разгледа тамошните за-

[1] Така в края на септември немското кръстоносно опълчение преминало през Босфора и Мала Азия, където при Дорилея претърпяло пълно поражение, от което се спасили малцина. [2] Филомилион — град в Мала Азия, дн. Акшехир. [3] В същност френският крал Людовик VII Млади (1137—1180), син на Людовик VI. Взел участие във Втория кръстоносен поход. [4] Людовик VII се разположил на лагер на няколко километра от Цариград през октомври 1147 г.

ἐνταῦθα θαύματος ἄξια καὶ τοῖς ἐπὶ τὸν τῇδε νεὼν ἐντευξόμενος ἱεροῖς· φημὶ δὴ ὅσα τῷ σωτηρίῳ Χριστοῦ πελάσαντα σώματι Χριστιανοῖς ἐστι φυλακτήρια. τοσαῦτα ἐν Βυζαντίῳ τελέσας ὅρκοις τε τὰ πιστὰ δοὺς ἦ μὴν φίλος διὰ βίου καὶ σύμμαχος βασιλεῖ ἔσεσθαι, ἐπὶ τὴν Ἀσίαν διέβη καὶ αὐτός.

Ῥογέριος δὲ ἐπειδὴ τοῦ κατὰ σκοπὸν ἔτυχε, πρίσβεις ἐς βασιλέα Ἰωάννην ἔτι περιόντα πέμψας ᾐτεῖτο κήδους τοῦ ἐκ βασιλείων αἱμάτων ἐπὶ παιδὶ τεύξεσθαι τῷ αὐτοῦ. ἀλλ᾿ οὔπω τέλος ἔσχε τὰ τῆς πρεσβείας, καὶ Ἰωάννης τὸν βίον κατέλυε. μετὰ δέ τινα χρόνον Μανουὴλ ἤδη τὴν αὐτοκρατορίαν διέποντος ταὐτὰ καὶ πάλιν πέμψας ἠξίου. ὅθεν καὶ βασίλειός τις ἐπώνυμον Ξηρὸς εἰς Σικελίαν ἀφῖκτο Ῥογερίῳ περὶ τούτου διαλεξόμενος. ἀλλ᾿ ἐκεῖνος χρυσίῳ κλαπεὶς παρ᾿ αὐτοῦ ἀλλόκοτά τινα ὡμολόγει, ὧν δὴ κεφάλαιον ἦν το ἐν ἴσῳ μεγαλείου βασιλέα τε τοῦ λοιποῦ καὶ Ῥογέριον ἔσεσθαι. ὅθεν δὴ τὰς μεγάλας ἀναρραγῆναι ξυμβέβηκε μάχας. ἐπειδὴ γὰρ ὁ μὲν Ξηρὸς ἐς Βυζάντιον ἐπανίων τὸν βίον κατέστρεψε, δίκην οὔπω τῶν τετολμημένων δούς, βασιλεὺς ὅσα καὶ ἀθύρμασι ταῖς ἐκείνου πρεσβείαις προσεσχηκὼς Ῥογέριον αὐτὸν χαίρειν εἴα· θυμομαχήσας δὲ ἐκεῖνος ἐξαπάτην τέ τινα τὸ πρᾶγμα εἶναι οἰηθείς, στόλον ναυπηγησάμενος ἐν παρασκευῇ εἶχε, καιροφυλακῶν τρόπῳ ὅτῳ δὴ Ῥωμαίους ἀμύνεσθαι. καὶ ἔτυχέ γε τοῦ κατὰ σκοπὸν ὁ βάρβαρος. ἐν ἀκμῇ γὰρ τῆς τῶν δυσμικῶν ἐθνῶν ἐς τὰ Ῥωμαίων ἐμβολῆς Κόρινθόν τε καὶ Εὔβοιαν καὶ Θήβας ἐληΐσατο τὰς Βοιωτικάς. ἅτε γὰρ τοῦ Ῥωμαίων στρατοῦ ἐπὶ τοῖς ἀνὰ χεῖρας κατ᾿ ἐκεῖνον ἠσχολημένου τὸν χρόνον, κατὰ πᾶσαν ἄδειαν ταῖς εἰρημέναις οἱ βάρβαροι ἐγκαθίσαντες πόλεσι λαφύρων τὰς ναῦς ἐπλήσαντο. ἐκεῖθέν τε ἐπὶ Κέρκυραν διαβάντες, κατὰ κράτος αὐτὴν εἷλον καὶ ὡς ἤδη οἰκείας μετεποιοῦντο παντὶ κρατυνάμενοι τρόπῳ. ὃ μαθὼν βασιλεὺς ἐν ἀθυμίᾳ πολλῇ ἦν. ἀμέλει καὶ ἐσκέπτετο πῶς ἂν τὸν Ῥογέριον ἀμύνηται καὶ δίκην τῶν τετολμημένων ἐπιθήσει τὴν δέουσαν.

бележителности и да навести светините, които се съхраняват в тамошния храм: имам пред вид светините, които някога са се докоснали до спасителното тяло на Христа и сега служат на християните като защита. След като свършил всичко това в Цариград и след като дал клетвени уверения, че през целия си живот ще бъде приятел и съюзник на императора,[1] кралят също тъй[2] преминал в Азия.

Когато постигнал всичко според желанията си, Рожер изпратил пратеници до император Йоан[3] още докато бил между живите, с молба да получи съпруга от царска кръв за своя син. Но пратениците още не били свършили работата си, когато император Йоан се поминал. След известно време, когато вече Мануил поел върховната власт, той повторно изпратил пратеници със същата молба. Ето защо в Сицилия пристигнал някой си Василий, по прякор Ксирос, за да преговаря с Рожер по тази работа. Но Василий, подкупен от него със злато, се съгласил на някои нередни условия, които по същество се свеждали до това: занапред византийският император и Рожер да бъдат на еднаква степен на владетелско достойнство. И от това произлезли големи сблъсквания. И тъй като Ксирос след завръщането си в Цариград се поминал, преди да бъде наказан за дързостта си, императорът не обърнал внимание на дипломатическите му уговорки, считайки ги за несериозни, и престанал да се занимава с Рожер. А Рожер, като счел цялата работа за измама, бил силно раздразнен, построил флота, която държал в готовност, и дебнел удобен момент, за да си отмъсти на ромеите. И наистина варваринът постигнал целта си. В разгара на нашествието на западните народи в ромейските земи той плячкосал Коринт, Евбея и Беотийска Тива.[4] И тъй като ромейската войска по онова време била заета с належащи работи,[5] варварите съвсем безнаказано се разположили в споменатите градове и напълнили корабите си с плячка. Оттам те преминали в Коркира[6] и след като я завладели напълно, разположили се в нея като в своя собствена страна и я укрепили с всички средства. Когато узнал това, императорът изпаднал в голямо отчаяние и обмислял как да отблъсне Рожер и да му наложи заслужено наказание заради дързостта му.

[1] Така Людовик VII дал ленна клетва на Мануил. [2] Подобно на Конрад Людовик VII преминал в Мала Азия. [3] Йоан Комнин, бащата на император Мануил. [4] Става дума за внезапното нападение на норманската флота през 1147 г., при което били плячкосани много гръцки градове и острови. Срв. *Chalandon*, Jean II Comnène, pp. 314—320. [5] Вниманието на византийските войски било заето с преминаването на немските и френските кръстоносни войски от Втория кръстоносен поход. [6] Коркира — сега о-в Корфу. За събитието вж. *Г. Острогорски*, Историја, стр. 360; *Д. Ангелов*, История на Византия, II, стр. 181.

στόλον οὖν νεῶν τριήρεων μὲν πεντακοσίων, ἱππαγωγῶν δὲ καὶ φορταγωγῶν ἐς χιλιοστὺν ὅλην ἑτοιμασάμενος, αὐτὸς μὲν ᾔει διὰ τῆς ἠπείρου, ὁ δὲ στόλος διαπόντιος ἐφέρετο ἐξαίσιος οἷος (pp. 67_3—83_{13}; 91_{16}—92_{23}).

Той приготвил флота от петстотин триери и хиляда товарни и коневозни кораба, след което самият той тръгнал по суша, а огромната флота се пренесла през морето.

5. Cumani in terras Bulgaricas invadunt

Ἄρτι δὲ περὶ τὴν πόλιν Φιλίππου γεγονότι τῷ αὐτοκράτορι φήμη περιέπτη, ὅτι δὴ στρατεύματα Σκυθικὰ Ἴστρον περαιωσάμενα κείρουσί τε τὰ ἐν ποσὶ καὶ ληΐζονται πάντα, καὶ εἷλόν γε καὶ πόλιν ἀξίαν, τῶν Ἴστρου καὶ αὐτὴν πίνουσαν ναμάτων. τὰ μὲν δὴ τῆς φήμης ἐν τούτοις ἦν. ὁ δὲ βασιλεὺς ἐκεῖθεν ἀποκλίνας, τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο, ναῦς ἐκ Βυζαντίου δι' Ἀγχιάλου πόλεως ἐπὶ τὸν Ἴστρον ἀναχθῆναι κελεύσας. οὔπω δ' ἐκείνων ἀφικομένων, ἐν τούτῳ τὰς ταύτῃ ἐρήμοις παντάπασι καὶ ἀοικήτοις ἐκ παλαιοῦ προκειμέναις ἀγεληδὸν ἀγρίων τι χρῆμα ζώων ἐντρέφεσθαι. ἐν ᾧ δὲ πρὸς τούτοις ἦν, ἠγγέλη αὐτῷ ὅ τι δὴ Σκύθαι λείαν ἐκ τῆς Ῥωμαίων ἐπαγόμενοι τὸν Ἴστρον ἄρτι που διέβησαν, οὐ μακράν τε ἄποθεν ἐσκηνωκότες αὐλίζονται. ἅπερ ἐπειδὴ ἤκουσεν, ὡς εἶχε τάχους αὐτίκα ἐπὶ τὸν ποταμὸν ἐφέρετο, ἔνθα λεμβαδίῳ περιτετυχηκώς, ὁποῖα πρὸς ταῖς τῇδε ὄχθαις ἑστάναι εἴθισται ξύλου πεποιημένα ἑνὸς, ἐκέλευεν ἄγεσθαι τοῦτο πρὸς αὐτόν. ἀλλ' ἦν ἰσχυρογνώμων ὁ πορθμεὺς καὶ βασιλέα μεταπέμπεσθαι τοῦτο ἀκούων „εἰ βασιλεῖ τῶν καθ' ἡμᾶς ἔμελεν“, εἶπεν, „οὐκ ἂν ὅ τε Δεμνίτζικος ἑάλω (οὕτω γὰρ τὸ τοῖς Σκύθαις, ὥσπερ εἴρηται, αἱρεθὲν ὠνομάζετο φρούριον) καὶ τὰ καθ' ἡμᾶς πρὸς τῶν βαρβάρων κατ' ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο.“ λέγεται τοίνυν πρὸς ταῦτα διηγανακτηκότα τὸν βασιλέα „καὶ δὴ“ φάναι „μὴ ἂν αὐτὸς εἴην, ᾧ τὰ Ῥωμαίων θεόθεν ἐπιτέτραπται πράγματα, εἰ μὴ αὐτίκα τῶν τετολμημένον Σκύθαι δίκας“. διὸ δὴ τὸ μὲν λοιπὸν τοῦ στρατεύματος αὐτοῦ που καὶ ἐπὶ ταῖς ὄχθαις ἐνστρατοπεδευσόμε-

5. Кумани нахлуват в българските земи

Когато византийският император се намирал вече в околностите на град Пловдив,[1] до него достигнала мълва, че кумански пълчища[2] преминали Дунава, опустошили и плячкосали всичко, което се изпречило отпреде им,[3] а при това завладели и един доста забележителен град, който[4] се мие от водите на Дунава. Такива слухове се носели тогава. А императорът се отклонил от пътя си[5] и потеглил по посока към Дунава, след като заповядал да бъдат докарани кораби от Цариград през град Анхиало до Дунава. Докато пристигнали корабите, той пребродил тамошните равнини в ходене на лов. И наистина в тези съвсем пусти и отдавна необитавани равнини живеят огромни стада диви животни. Докато императорът се занимавал с това, било му съобщено, че скитите, откарвайки плячка от ромейската земя, токущо преминали Дунава, разпънали палатките си недалеч оттам и се разположили на бивак. Като чул това, той веднага потеглил към реката колкото може по-бързо. Там той намерил една от ония лодки, които обикновено стоят край тамошния бряг и са направени от едно дърво, и заповядал да я докарат при него. Но лодкарят бил упорит. Като чул, че императорът го вика да се яви при него, той казал: „Ако императорът се грижеше за нашите работи, нямаше да бъде превзет Демничик (така се наричала крепостта, която куманите превзели, както вече се спомена), нито пък варварите щяха свободно да разграбят и отвличат нашите имущества.“ Казват, че при тия думи императорът възнегодувал и рекъл: „Кълна се да не съм този същият, комуто от бога е поверена ромейската държава, ако куманите не бъдат веднага наказани заради дързостта си.“ Поради това императорът оставил част от войската си да се разположи на лагер на съ-

---

[1] Мануил II Комнин потеглил от Цариград срещу норманите начело на сухопътната войска и стигнал до Пловдив. Това станало в края на зимата и началото на пролетта на 1148 г. Срв. *Златарски*, История, II. стр. 384—385. [2] Тук Кинам нарича куманите скити. [3] Може да се предположи, че куманите са достигнали Стара планина. Срв. *Златарски*, История, II, стр. 385. [4] По-долу се дава името на града-крепост — Демничик (или Демницик). Някои изследователи (например *В. Г. Васильевский*, Из истории Византии в XII веке. Союз двух империй, Труды, т. IV, 1930, стр. 30, заб. 1) виждат в това име гр. Зимница, или Зимнич, на левия бряг на Дунава, срещу Свищов. Но *Грот*, История Угрии, стр. 132, отбелязва, че градът трябва да се търси на десния бряг на Дунава. Той смята, че Демничик може би се е наричал сегашният Свищов. *Златарски*, История, II, стр. 385, предлага този град да се търси около днешния Тутракан или старата Трансмариска. [5] Т. е. от замисления поход срещу Корфу. Островът паднал под властта на империята през 1149 г.

νον ἔλιπεν, αὐτὸς δὲ τῶν νεῶν οὔπω καθάπερ εἴρηται ἀφικομένων τοὺς λέμβους ἀλλήλοις ξυνδήσας καὶ ἁρμοσάμενος σὺν πεντακοσίοις τῶν ἀμφ' αὐτὸν τὸν Ἴστρον διέβη· μέλλων τε ἐπιπροσθεν ἰέναι δυσὶν ἄλλοις ἐντυγχάνει ποταμοῖς ναυσιπόροις. ὡς οὖν οὐδαμῇ λεμβάδιον ἐνταῦθα διεφαίνετο, ᾧ χρήσαιτο ἄν τις ἐς τὴν περαίωσιν, ἐκέλευε τοῖς περὶ αὐτὸν τοῖς τῶν ἵππων οὐραίοις τὰ ἐπὶ τῷ Ἴστρῳ ἀκάτια ξυνδήσαντας εἰς τοὺς εἰρημένους μετάγειν τῶν ποταμῶν. οὗ γεγονότος ἀμογητὶ διέβαινον, χῶρόν τέ τινα δολιχὸν διαμείψαντες ἄχρι καὶ ἐπὶ ὄρος τένου ὅρμιον ἦλθον, ὅπερ ἀγχοῦ τῶν Ταυροσκυθικῆς ὁρίων ἀνέχει. ἔνθα τὰ τῶν Σκυθῶν στρατόπεδον ἀνδρῶν παντάπασιν ἔρημον εἰρηκότες (ᾤχοντο γὰρ οὐ πολλῷ πρότερον ἀπιόντες) προσωτέρω ἐχώρουν. ἐπεὶ δὲ ἀμφὶ μέσην ἡμέραν ἤδη ἦν καὶ οὐδεὶς οὐδαμῇ πολεμίων διεφαίνετο, Σκύθας τοὺς ὅσοι Ῥωμαίοις ξυνεστράτευον ἀπολεξάμενος βασιλεὺς ὑποστρατηγοῦντι Γιφάρδῳ, ἀνδρὶ πολέμων ἐμπείρῳ πολλῶν, αὐτοὺς μὲν ὀπίσω τῶν πολεμίων ἰέναι ἔπεμψεν, ἰχνοσκοπήσοντάς τε καὶ ὅπῃ δυνατὰ ἔσται μαχησομένους, αὐτὸς δὲ κατόπιν ἐπορεύετο σχολαιότερον. οὐκ εἰς μακρὰν οὖν ὁ Γιφάρδος τοῖς πολεμίοις ἐντετυχηκώς, ἐπειδὴ μὴ ἐθάρρει τῇ συμβολῇ (τὸ γὰρ βαρβάρων πλῆθος ἀριθμοῦ κρεῖσσον αὐτῷ κατεφάνη), πεμψας ἐπὶ τὸν βασιλέα ἥκειν αὐτὸν τὴν ταχίστην ἐδεῖτο. ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, αὐτός τε πρὸς τοῖς ὅπλοις αὐτίκα ἐγένετο καὶ τὸ στράτευμα ἐξώπλιστο ἅπαν. ὀπίσω τε Σκυθῶν διώξαντες εἰς χεῖρας ἤδη ἦλθον αὐτοῖς. Σκύθαι τοίνυν τὸ μὲν πρῶτον ἔστησάν τε ὡς ὑποδεξόμενοι σφᾶς καὶ ἐς φάλαγγα ταξάμενοι βοήθειαν σφῶν τε αὐτῶν καὶ ὧν ἐπήγοντο λαφύρων προπονεῖσθαι ἤθελον, ἥ τε ξυμβολὴ ἑκατέρωθεν σὺν ὠθισμῷ καὶ βίᾳ ἐγίνετο. ὅτε δὴ πολλοὶ μὲν καὶ ἄλλοι Ῥωμαίων ἄνδρες ἐγένοντο ἀγαθοί, βασιλεὺς δὲ πάντων μάλιστα. τῶν γὰρ πολεμίων ἔγγιστα ἐγκειμένων ἰσχυρῶς, αὐτὸς σὺν τῷ δόρατι ἐπελαύνων τὸν συνασπισμὸν αὐτοῖς

Това се вършеше в Цариград. Стефан[4] пък, който вече бе завзел властта след смъртта на Владислав, си бе навлякъл ненавистта и омразата на своите поданици. По тази причина унгарците го укоряваха за много неща и изглеждаше, че скоро ще го свалят от престола. Обезпокоен от това, Стефан отново потърси помощта на императора. И тъй императорът, когато вече бе настъпило равноденствие, потегли към град Филипопол. Там остана самият той заедно с по-голямата част от ромейската войска; друга пък част от войската повери на племенника си Алексий, син на Контостефан, и я отправи към увгарската страна. Но в това време Стефан счете, че вече се е помирнл с унгарците, и не се нуждаеше повече от помощта му. Поради това и ромейската вой-

[1] Бан Белуш, брат на Първослав. [2] Дежа, брат на Първослав и на бан Белуш. [3] Според *Васильевский*, Из истории Византии, стр. 67, Дендра е гористата местност на запад от р. Морава. Според *Грот*, История Угрии, стр. 194, бел. 4, тя трябва да се търси между Топлица и Южна и Западна Морава. Както личи от текста, тази област още не била присъединена към Византия. [4] Стефан IV станал унгарски крал през февруари 1162 г.

μεταξὺ Οὖννοι αὖθις Στεφάνῳ ἐπισυστάντες ἄλλα τε πολλὰ εἰς αὐτὸν ἀπερρίπτουν καὶ δὴ καὶ ἐπ' αὐτῷ τὰ Οὔννων ἀνατετράφθαι ἰσχυρίζοντο πράγματα. διὰ ταῦτα βασιλεὺς μὲν στράτευμα καὶ πάλιν ἤθροιζε, Στέφανος δὲ τὸν κίνδυνον διευλαβηθεὶς τὸ μὲν πρῶτον φυγὰς ἐπί τινα τῶν ἐγγυτάτω Ἴστρου πόλεων ἦλθεν, αἳ βασιλέως ἀνέκαθεν κατήκοοι τυγχάνουσιν οὖσαι, ἐκεῖθεν δὲ ἐπὶ Σαρδικὴν μεταβὰς ἐνταῦθα βασιλεῖ συνεγένετο. ὁ δὲ σφόδρα περιαλγήσας τοῖς ξυμπεσοῦσι τῆς τύχης τε τὸν ἄνθρωπον οἰκτισάμενος χρήμασί τε ἐδωρήσατο καὶ δυνάμεσιν ἀποχρώσαις ἐπὶ τὴν πατρῴαν αὖθις κατῆγεν ἀρχήν. ἦρχε δὲ τῶν δυνάμεων τούτων Ἀλέξιος οὗπερ ἤδη ἐμνήσθην, ὁ Κοντοστέφανος, βασιλεὺς δὲ κατόπιν ὀλίγῳ ἐχώρει. ἐπειδή τε ἐν Ναϊσῷ πόλει ἐγένετο, ἔννοιά τις αὐτῷ ἐπῆλθεν ἐνταῦθα στρατοπεδευσαμένῳ καὶ τῶν ἀμφὶ τῇ Σερβικῇ ἐν παρέργῳ ἐπιμεληθῆναι πραγμάτων. ἄγει γάρ πως ἐφ' ἑκατέρας Παιονικήν τε καὶ Σερβικήν, ὁ χῶρος οὗτος, καὶ ἔστιν ἀμφοτέραις ἐντεῦθεν δέον ἐνιέναι. Δεσὲ γὰρ ὃς βασιλέως δόντος τῆς Σερβικῆς ἦρχε τῷ τότε, ἐπειδὴ τῆς χώρας ἐγκρατὴς ἤδη ἐγένετο, τῶν συνθηκῶν ἀλογήσας Δένδρας τε χώρας εἰσαῦθις μετεποιεῖτο καὶ τῆς Ῥωμαίων ἀφηνιάζων ἀρχῆς ἔς τε Ἀλαμανοὺς ἔπεμψε, κῆδος ἐντεῦθεν ἑαυτῷ συνάψαι διανοηθείς, καὶ πᾶν ὃ μὴ κατὰ γνώμην Ῥωμαίοις ἦν τρόπῳ παντὶ ἔπρασσε· τότε δὴ καὶ βασιλέως αὐτὸν μεταστελλομένου ἐφ' ᾧ κατὰ Παιόνων αὐτῷ συστρατεύσει, ὁ δὲ δύστροπός τις καὶ ἰσχυρογνώμων ἐφαίνετο ἐπὶ μακροτέραις τε ταῖς ἐλπίσιν ᾠχεῖτο καὶ εἰς τὴν ἐπιοῦσαν τὴν ἄφιξιν ἐπισχνεῖτο. ὁ μὲν οὖν βασιλεὺς διὰ ταῦτα, ἐπειδὴ πρὸς τῇ Ναϊσῷ ἐγένετο, ἔνθα ταῖν ὁδοῖν ἀμφοτέραιν ἡ μὲν ἐπὶ τὴν Σερβικὴν ἄγει, θατέρα δὲ ἐπὶ τὸν Ἴστρον καὶ γῆν τὴν Παιονικήν, ἐν μεταιχμίῳ τὴν στρατοπεδείαν ἐπήξατο, Δεσὲ δὲ τὸν ἐπικρεμάμενον ἤδη κίνδυνον αὐτῷ συνιδὼν τὸ περὶ αὐτὸν ἀναλαβὼν στράτευμα ἐς τὸ Ῥωμαίων ἀφικνεῖται στρατόπεδον. βασιλεὺς δὲ εὐμενῶς τε αὐτῷ προσηνέχθη καὶ τὰ εἰκότα τετίμηκεν. ἀλλ' ἔοικεν ἀκολάστου γλώσσης μηδὲν αἴσχιον εἶναι κακόν. Δεσὲ γάρ, ἐπειδὴ μηδὲν ἐξ ἀβουλίας αὐτῷ τῆς προτέρας ξυνενεχθὲν ἔγνω κακόν, ἐπῆρτό τε τὴν διάνοιαν καὶ μείζω κακουργήσειν ἢ πρότερον ἐς Ῥωμαίους διενοεῖτο· εἶχε δὲ ὅμως ἐν ἀπορρήτῳ τὸ σκέμμα. οὕτω

ска се завърна в страната си. А между това унгарците отново се надигнаха срещу Стефан, укоряваха го в много неща и упорито твърдяха, че при неговото управление унгарските работи били пропаднали. Поради това императорът отново се залови да събира войска. Стефан пък, предотвратявайки опасността, най-напред избяга в един от близките до Дунава градове, които още от старо време са подвластни на императора. Оттам той замина за Сердика, където се срещна с императора. Императорът, твърде огорчен от случилото се, съжали Стефан в нещастието му, дари го с парични средства и с достатъчно военна сила го отправи обратно за бащиното му царство. Начело на този отред стоеше Алексий Контостефан, за когото вече споменах, а императорът вървеше малко поназад. И когато пристигна в град Ниш и се разположи там на лагер, хрумна му мисълта да се занимае между другото и със сръбските работи. И то защото през това място минава пътят за двете земи — и за Унгария, и за Сърбия — и оттам може да се навлезе и в двете, ако стане нужда. Пък и Дежа, който с позволението на императора бе взел по онова време върховната власт в Сърбия, след като бе вече закрепил властта си в страната, пренебрегна договора[1] и отново си присвои областта Дендра. Отхвърляйки подчинението си под ромейска власт, той изпрати пратеници до аламаните с намерение да си вземе оттам жена и по всякакъв начин вършеше всичко против волята на ромеите. И тогава, когато императорът го призоваваше да воюва с него против унгарците, той се показваше неотстъпчив и упорит и хранеше в себе си големи надежди и обещаваше да дойде чак на следния ден. Поради това императорът пристигна при Ниш — там, гдето се събират двата пътя, единият от които води за Сърбия, а другият — за Дунава и унгарската земя, разположи лагера си в пространството помежду им. Дежа пък, като видя надвисналата вече опасност, взе със себе си войската си и пристигна в ромейския лагер. Императорът се отнесе към него благосклонно и го прие с подобаващи почести. Но, изглежда, че няма по-срамно зло от необуздания език. Наистина Дежа, когато разбра, че никакво зло не го е сполетяло от предишната му безразсъдност, повиши дързостта си и намисли да стори на ромеите по-голямо зло от предишното. Все пак той държеше в тайна намере-

[1] В случая условието да стане велик жупан било, че ще служи на императора предано през целия си живот и ще отстъпи областта Дендра. *Фрейденберг,* Труд Иоанна Киннама, стр. 36.

φιλανθρωπίας ὑπόθεσις τοῖς τῶν ἀνθρώπων πονηροτάτοις ὕλη μειζόνων ἀδικημάτων ὡς τὰ πολλὰ γίνεσθαι εἴωθεν. ἧκον μὲν γὰρ ὀλίγῳ ὕστερον πρέσβεις ἐς βασιλέα παρὰ τοῦ Παιόνων ἔθνους· ὁ δὲ κατά τινα τύχην αὐτοῖς συναντώμενος ὅπη τε τὰ κατ᾽αὐτὸν ἔχοι πρὸς αὐτῶν ἠρωτημένος, ὥσπερ ἔθος ἐστίν, ἀπαρακαλύπτως ἔφησεν ὡς καλῶς καὶ τῆς πρὸς αὐτὸν ἐπαξίως τοῦ σφῶν ῥηγὸς εὐμενείας, κύριον αὐτὸν διαφανῶς ὀνομάσας. ταῦτα πυθόμενος βασιλεὺς οὐκ τι μέλλειν ἔγνω, καὶ τοίνυν ἐπὶ δίκην καλέσας αὐτόν, ἐπειδὴ περ ἐκράτει, τῶν κατηγόρων αὐτῷ καὶ συνειδότων κατὰ πρόσωπον ἱσταμένων ἤδη καὶ θεατριζόντων τῷ ἀνθρώπῳ τὴν ἀπιστίαν, τότε μὲν ἐν τῷ ἀσφαλεῖ οὐ σὺν ἀτιμίᾳ τοῦτον ἔσχε· τοφρείᾳ γὰρ τὴν σκηνὴν αὐτῷ περισχὼν κατὰ τὸν ἐν τοῖς χαρακώμασι νόμον ἐτήρει, ὡς ἀπ᾽ἐκείνου λοιπὸν Δεσὲ χάρακα τὸν τόπον ὀνομασθῆναι (οὕτω γὰρ τὴν ταφρείαν ἰδιωτίζοντες ὀνομάζουσιν οἱ πολλοί)· ὀλίγῳ δ᾽ὕστερον ἐς Βυζάντιον πέμψας ἔμφρουρον ἐν παλατίῳ κατεστήσατο. ταῦτα μὲν τῇδε ἐγένετο, βασιλεὺς δὲ τοῖς ἐκ τῶν Παιόνων ἀφικομένοις χρηματίσας πρέσβεσιν, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλοντας ἔγνω, ἐκέλευεν εὐθυωρὸν τοῦ Ῥωμαϊκοῦ ἀπαλλαγέντας στρατοπέδου τὴν αὖθις πορεύεσθαι. οἱ μὲν οὖν ἀπῄεσαν, ὁ δὲ ἐπὶ Βελέγραδα πόλιν ἐλθὼν ἐνταῦθα ηὐλίσατο, ἣν καθάπερ εἴρηται Ζεύγμινον καθελὼν ὁ Ῥωμαίων ἐδείματο στρατός, συναιρομένους τῶν πόνων καὶ Οὔννων πολλοὺς ἔχοντες παίγνιον δὴ τοῦτο τύχης τὰ ἀνθρώπεια διαχλευαζούσης ἀεὶ πράγματα· κἂν γὰρ ἐπεγγελάσῃ τις τοὺς πάλαι καθαιρεθέντας δομήτορας, αὖθις οἰκιστὰς καθορῶν.

Ἔφ᾽οἷς ἀπειρηκὼς βασιλεὺς Νικηφόρον μὲν τὸν Χαλούφην αὐτοῦ ἔλιπεν ἅμα στρατεύματι, συμπαρεσόμενόν τε τῷ Στεφάνῳ καὶ τὰ παραπίπτοντα συνδιοικησόμενον. ὁ δὲ ἐπὶ τὴν Ῥωμαίων ἦλθεν. οὐ πολὺ τὸ μεταξύ, καὶ πυθόμενος ὁ τῶν Οὔννων ῥὴξ ἐπὶ Οὐννικῆς Στέφανον εἰσέτι διατριβὴν ποιεῖσθαι, δυνάμεις ἔτι μᾶλλον ἀγείρας πολέμῳ τὸ πᾶν διακρῖναι ἠπείγετο, ἐν δὲ τούτῳ πολλοὶ τῶν σὺν Στεφάνῳ ἐπὶ τὸν ῥῆγα μετατιθέμενοι ἑκάστοτε ψιλοῦσθαι τοῦτον ἐποίουν. ὃ γνοὺς ὁ Χαλούφης βουλὴν προσῆγεν αὐτῷ τῆς Οὐννικῆς ἀποσχομένῳ ἐπὶ Σίρμιον ἀφικέσθαι. τῆς γὰρ ἐνταῦθα χώρας ὑπὸ βασιλεῖ κει-

нията си. Така човеколюбието обикновено дава почва на лошите хора да извършват още по-големи пакости. И наистина малко по-сетне дойдоха пратеници при императора от страна на унгарците. Когато Дежа случайно се срещнал с тях и те според обичая го попитали как отиват работите му, той откровено им казал, че е добре, и то дотолкова, доколкото е заслужил благоволението на техния крал, когото нарекъл открито господар. Когато узна това, императорът реши да не се бави повече и го призова, за да го осъди. И след като бе доказана вината му, когато и обвинителите, и съучастниците му, застанали лице с лице срещу него, вече разобличиха вероломството му, тогава императорът го задържа под стража, но без да го подлага на унижения. Той нареди да обкръжат палатката му с ров и да го пазят като във военен лагер. Поради това оттогава онова място се нарича Дежев окоп. (Така нарича тоя ров по-голямата част от простия народ.) Малко по-сетне императорът го препрати в Цариград и го задържа в двореца под стража. Такива неща станаха тогава. А императорът, след като изслуша дошлите от Унгария пратеници и разбра, че не предлагат нищо целесъобразно, заповяда веднага да напуснат ромейския лагер и да си заминат обратно. И тъй те си заминаха, а той пристигна[1] при Белград и там се разположи на стан. Ромейската войска, както вече се спомена, съгради тоя град, след като бе разрушила Зевгмин, използувайки при строителната работа и помощния труд на много унгарци. Наистина това е игра на съдбата, която винаги се надсмива над човешките работи. Действително някой би се присмял на древните, загинали вече основатели на градове, когато вижда отново строители на градове.

Императорът се отказа да се занимава повече с него и остави там Никифор Халуфа с войска, за да помага на Стефан и да му съдействува в уреждането на текущите работи. А самият той се прибра в ромейските предели.[2] Не след дълго унгарският крал, като узна, че Стефан все още се намира на унгарска земя, събра още по-голяма войска и бързаше изцяло да разреши въпроса чрез война. А в това време мнозина от хората на Стефан преминаваха на страната на краля и причиняваха непрекъснато намаляване на силите му. Като узна това, Халуфа го посъветва да напусне унгарската земя и да дойде в Сирмий. Той му казваше, че тъй като

[1] Това станало в началото на 1163 г. [2] Описваните събития се отнасят към 1164 г.

μένης ἐξεῖναι αὐτῷ ἔλεγε κατ᾽ἐξουσίαν οἷς ἂν βούλοιτο ἐγχειρεῖν. ὡς δ᾽ἰσχυρῶς ἐκεῖνος ἀνένευεν, ὁ δὲ τοιάδε ἐνενόει. σκηψάμενος γράμματα ἐκ βασιλέως ἥκειν αὐτῷ ἐπὶ τὸν Ἴστρον ἐχώρει, τοῖς ταῦτα κομίζουσιν ἐντευξόμενος ἐνταῦθά που παρὰ τὸν Ἴστρον δέει τῷ ἐκ τῶν Οὔννων διατριβὴν ποιουμένοις. ἐπειδή τε ἐνταῦθα ἐγένετο, περαιωσάμενος ἐπὶ Σίρμιον ἦλθεν. ὀλίγῳ δὲ ὕστερον καὶ Στέφανος ἐγγὺς ἁλῶναι τοῖς πολεμίοις ἐλθὼν φυγὰς ἐς αὐτὸν παραγίνεται. τούτων ἀκούσας βασιλεὺς στράτευμα λόγου ἄξιον ἐπὶ Σίρμιον ἔπεμψε, τὸ μέν τι τὴν χώραν αὐτῷ τηρῆσον (ὑποψίᾳ γὰρ ἐς τοὺς Οὔννους ἐχρῆτο πολλῇ μή τι καὶ πάλιν νεωτερίσαιεν), τὸ δὲ καὶ τῷ εὐπροσώπῳ τῆς τῶν οἰκείων ἀσφαλείας καὶ Στεφάνῳ τὴν σωτηρίαν πραγματευσόμενον. ἦρχε δὲ ταυτησὶ τῆς στρατιᾶς Μιχαὴλ ἐπίκλησιν Γαβρᾶς, ὃς καὶ αὐτὸς βασιλέως γήμας ἀδελφιδῆν σεβαστὸς σὺν τῷ Χαλούφῃ τετίμηται. βασιλεὺς δὲ ἣν ἐκ τοῦ Σιρμίου Προκοπίου τοῦ μάρτυρος ἀνελόμενος ἔτυχε χεῖρα ἐπὶ τον ἐν Ναϊσῷ νεὼν ἄγων τῷ λοιπῷ ταύτην ἀπέδωκε σώματι, παλαιοῦ τοῦ χρόνου ἀπ᾽αἰτίας ἀπορραγεῖσαν τοιᾶσδε. τὸ τῶν Οὔννων ἔθνος πολλὰ μὲν πολλάκις τὴν Ῥωμαίων κατέδραμε γῆν, ὀλίγῳ δὲ ἔμπροσθεν τῆς Ἀλεξίου τοῦ Κομνηνοῦ βασιλείας Σίρμιόν τε εἷλε καὶ πολλὰς τῶν Παριστρίων ἀνδραποδισάμενος πόλεων ἄχρι καὶ ἐπὶ Ναϊσὸν ἦλθεν. ἔνθα τῇ τοῦ μάρτυρος τοῦδε ἱερᾷ περιτετυχηκότες σορῷ ὅλον μὲν ἀφαιρεῖσθαι τὸ σῶμα κεκρίκασιν οἶμαι ἀπάνθρωπον, τήν γε μὴν χεῖρα διελόμενοι ἀπεχώρησαν· ἐν Σιρμίῳ δὲ γεγονότες ἐπὶ τον τῇδε τοῦ μάρτυρος Δημητρίου κατέθεντο νεών, ὃν ἐν τοῖς ἄνω χρόνοις ὁ τὴν τοῦ Ἰλλυρικοῦ διέπων ἐδομήσατο ἀρχήν. ἔνθα ταύτην εὑρὼν βασιλεὺς ἀνέλαβέ τε ἐκεῖθεν καὶ τῷ λοιπῷ, καθάπερ εἴρηται, φέρων ἀπέδωκε σώματι.

тамошната област е подвластна на императора, ще има възможност свободно да предприеме там, каквото поиска. Но тъй като Стефан упорито отказваше да се съгласи, той намисли следното. Под предлог, че за него било пристигнало писмо от императора, замина към Дунава уж да се срещне с ония, които носели писмото и поради страх от унгарци били отседнали там някъде край Дунава. След като пристигна там, той премина след това в пределите на Сирмий. Малко след това и Стефан, който насмалко щеше да бъде заловен от неприятелите си, дойде при него като бежанец. Като се научи за това, императорът изпрати в Сирмий значителна войска, от една страна, за да охранява земите му (тъй като имаше подозрение към унгарците да не би отново да предизвикат там безредици), а, от друга страна, за да осигури безопасността на подвластното иаселение и спасяването на Стефан. Тази войска се предвождаше от Михаил, по прякор Гавра. Самият той бе женен за племенницата на императора и заедно с Халуфа бе удостоен със званието севаст. А императорът заиесе в църквата на Ниш и придаде към останалата част от тялото ръката на мъченик Прокопий, която бе взел от Сирмий. Тази ръка твърде отдавна бе откъсната от тялото поради следната причина. Унгарското племе твърде често нападаше ромейските земи. Малко пък преди царуването на Алексий Комнин то превзе Сирмий, подчини под властта си много от крайдунавските градове и стигна чак до Ниш. Там унгарците попаднаха на светия ковчег на тоя мъченик, но като счели, струва ми се, за безчовечно да задигнат цялото му тяло, откъснали ръката му и с нея се оттеглили. А като пристигнали в Сирмий, те я положили в тамошния храм на мъченика Димитрий. Този храм бе построен дълго време преди това от управителя на Илирик. Там императорът намери ръката и като я взе, занесе я, както вече се спомена, и я придаде към останалата част от тялото.

Ὁ δὲ τῶν Παιόνων ῥὴξ Σίρμιόν τε αὖθις Ῥωμαίοις ἀφελόμενος ἔσχε καὶ Ζευγμίνου αὐτοῦ ἤδη μετεποιεῖτο. ταῦτα πυθόμενος βασιλεὺς ἐπέστειλεν αὐτῷ τοιάδε. „οὐ δίκαια ποιεῖς, ὦ εὐγενέστατε, ὅρκους ἀτιμάζων, οὓς ἔναγχος κράτει τῷ ἡμετέρῳ Σιρμίου τε ἕνεκα καὶ τῶν ἄλλων ὀμωμοκὼς ἔφθης. ἴσθι τοίνυν (τὸ γὰρ μακρολογεῖν ὑποτέμνει τῶν σοι πεπραγμένων ἡ ἐπίδειξις) ὡς εἰ

А унгарският крал отново отне Сирмий[1] от ромеите и дори вече посягаше към Зевгмин. Като узна това, императорът му изпрати следното писмо: „Постъпваш несправедливо, преблагородни, щом не зачиташ клетвите, които неотдавна си дал на наше величество заради Сирмий и други селища. Знай впрочем (и то защото е излишно да ти отговоря надълго и нашироко пред вид на това, което си извършил), че ако ти по-ско-

[1] Това станало, след като византийската войска се била оттеглила от Сирмий.

μὴ θᾶττον ὧν οὐδέν σοι προσήκει ἀπαλλαγῆς, οὐ τόσα δράσεις Σίρμιον ἀφελών, ὅσαπερ ἂν αὐτίκα πείσῃ, ὁπότε Ῥωμαῖοι πᾶσαν καὶ πάλιν τοῖς ὅπλοις ἐπιτρέχοιεν τὴν σήν. ἢ λέληθέ σε ὁπόσων Οὐννικὴ μυριάδων ἐψίλωτο πρότερον πρὸς πατρὸς τοῦ σοῦ τῇ Ῥωμαίων προσκεκρουκότος ἀρχῇ: ἀλλ' ἐκείνων μὲν ἡ τῶν πεπραγμένων μετάνοια σώτειρα γέγονε φθάσασα, σοὶ δὲ ὅρα μή ποτε οὐχὶ καὶ μεταμέλῳ γεγονότι ὄνησις ἔσται οὐδεμία. τὸ γὰρ τῆς δίκης ξίφος διὰ πολλῶν ἤδη τεθηγμένον διὰ τοσούτων δὴ καὶ πρὸς ἀμβλύτητα στρέφεσθαι πέφυκε. καὶ οὐκ ἄν τις οἶμαι πρότερον ἁπάντων τὴν τομὴν ἐκφεύξοιτο." τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἦσαν, Στέφανος δὲ ἐν ὀλιγωρίᾳ τοὺς λόγους ποιούμενος ἐπὶ τοῖς αὐτοῖς καὶ πάλιν ἦν. διὸ δὴ καὶ πᾶσι τρόποις ἐπὶ τὸν κατ' αὐτοῦ πόλεμον ὁ βασιλεὺς ἔβλεψεν, Στέφανόν τε τὸν πατράδελφον, οὐ πρότερον τοῦτο βεβουλημένος, ἐπὶ τὴν ἀρχὴν αὖθις καθιστᾶν ἤθελε (pp. 211_{14}—214_{14}; 225_{21}—227_{14}; 231_{6}—232_{3}).

ро не се откажеш да вършиш неща, които не ти подобават, ще сполучиш не толкова да заграбиш Сирмий, колкото да си навлечеш незабавно беда, когато ромеите отново нападнат с оръжие цялата ти земя. Или не ти е известно колко хиляди хора загуби унгарската страна по-преди, при твоя баща, който бе във враждебни отношения с Ромейската империя? Но разкаянието в ония деяния се оказа спасително за него, а ти внимавай да не би и от разкаянието си да не получиш никаква полза. И то защото мечът на справедливостта, наострян вече при много други случаи, поради такива дела може да бъде и притъпен. Но все пак, струва ми се, никой досега не е избягнал острието му." Такова бе съдържанието на императорското писмо. А Стефан, пренебрегвайки словата му, продължаваше да действува по същия начин. Ето защо императорът с всички средства се залови да се подготви за война срещу него и поиска да възстанови на престола чичо му Стефан[1], въпреки че по-преди не бе пожелавал това.

15. Sirmium in potestatem Hungarorum venit

κατὰ τὸν αὐτὸν χρόνον καὶ Βλαδίσθλαβος, εἷς ὢν τῶν ἐν Ταυροσκυθικῇ δυναστῶν, σὺν παισί τε καὶ γυναικὶ τῇ αὐτοῦ δυνάμει τε τῇ πάσῃ αὐτόμολος ἐς Ῥωμαίους ἦλθε, χώρα τε αὐτῷ παρὰ τὸν Ἴστρον δεδώρηται, ἣν δὴ καὶ Βασιλίκᾳ πρότερον τῷ Γεωργίου παιδί, ὃς τὰ πρεσβεῖα τῶν ἐν Ταυροσκυθικῇ φυλάρχων εἶχε, προσελθόντι βασιλεὺς ἔδωκε.

βασιλεὺς δέ, ἐπειδὴ μηδέπω τὰ πρὸς τὴν παρὰ πόδας ἐξαρτυσάμενος ἔτυχε μάχην, δείσας περὶ τῇ πόλει Ζεύγμῃ ἐπὶ πλεῖστον ἤδη πρὸς τοῦ Στεφάνου πυργηρουμένῃ, πρὸ τοῦ τὸν ὑπὲρ τῶν ὅλων ἐκρῆξαι πόλεμον, στράτευμα λόγου ἄξιον βοηθήσον αὐτῇ ἔστελλεν, ὑπὸ στρατηγοῖς Μιχαήλ τε τῷ Γαβρᾷ καὶ τῷ Βρυεννίῳ Ἰωσήφ, ἐφ' οὓς ἐτέλουν ἄλλοι τε τῶν ἐν Ῥωμαίοις ἐπιφανεστέρων, καὶ Ἰωάννης ὃν Ἄγγελον ἐπεκάλουν, ἀνὴρ ἐμπειροπόλεμος, καὶ Ἰωάννης ὁ Ἰσής, Πέρσης μὲν τὸ γένος τροφῆς δὲ καὶ διαίτης μεταλαχὼν Ῥωμαϊκῆς. ἐπὶ πλέον γε μὴν τῇ πόλει ἐπαρκέσαι βουληθεὶς ναῦς ὡσεὶ πλείστας στρατιωτῶν τε καὶ τῶν ἐπιτηδείων ἐμπλησάμενος ἐκέλευε τὸν Ἴστρον παραπλεούσας τοῖς ἔνδοθι παρέχειν τῶν ἀναγκαίων, ἕως αὐτὸς πανστρατὶ ἐπὶ τὴν Οὐννικὴν ἀφίκηται. Οὖννοι δέ, ἐπειδὴ πολύν τινα χρόνον ἀμφὶ τῷ περιβόλῳ

15. Сирмий преминава под властта на унгарците

По това време Владислав, един от князете в Тавроскития, заедно с децата си, със своята жена и с цялата си войска премина доброволно на страната на ромеите. На него му беше подарена земя по Дунава, която императорът беше дал преди на Василик, син на Георги, който имаше старшинство между князете в Тавроскития.

А императорът, тъй като още не беше подготвил всичко за предстоящото сражение,[2] от страх за град Зевгмин, който Стефан[3] вече беше обградил отвсякъде, преди да започне главните действия, изпрати там на помощ значителна войска, предвождана от пълководците Михаил Гавра и Йосиф Вриений. Под тяхно началство служеха и други знатни ромеи — както опитният във военното дело Йоан с прозвище Ангел, така и Йоан Изес, от турски произход, който беше получил образование и възпитание сред ромеите. И понеже императорът желаеше да помогне значително на града, заповяда много кораби, натоварени с войници и продоволствие, да отплават през Дуиава и да доставят провизии на обсадените, докато той пристигне с цялата си войска в унгарската страна. Унгарците пък, понеже дълго време

[1] Става дума за изгонения от престола Стефан IV. [2] Това станало през зимата на 1164/1165 г. [3] Унгарският крал Стефан III.

ἐνδιατρίψαντες πολλάκις τε αὐτοῦ ἀποπειρασάμενοι ἔγνωσαν ἀνεφίκτοις ἐπιχειρεῖν (αἱ γὰρ Ῥωμαϊκαὶ νῆες ἐπὶ τὴν ἐχομένην ποταμοῦ Ἴστρου πλευρὰν ὁρμιζόμεναι μεγάλα τοῖς ἔνδον Ῥωμαίοις συνεβάλλοντο, πρὸς δὲ καὶ τοὺς ἐν πολέμῳ τραυματίας γεγενημένους ἀπολαμβάνουσαι ἑτέρους ἀκραιφνεῖς τοῖς σώμασιν ἀντιπαρεῖχον αὐτοῖς), νῆας καὶ αὐτοὶ συλλεξάμενοι, μήπω τοῦ σὺν τῷ Γαβρᾷ καὶ τῷ Βρυεννίῳ στρατεύματος ἀφικομένου ἐπὶ Οὐννικήν, διὰ τοῦ ποταμοῦ κατὰ τῶν Ῥωμαϊκῶν ἐφέροντο ὡς καταδύσοντές τε αὐτὰς καὶ μάχῃ οὐ σὺν πόνῳ περιγενησόμενοι, εἰ καὶ ταύτης τῆς πείρας ἠλέγχοντο δεύτεροι. αἱ γὰρ αὐτῶν νῆες, ἅτε ἥκιστα τοῦ ναυπηγεῖσθαι δεξιῶς ἐς ἀσύμμετρόν τι διατεινόμεναι εὖρος, τὰ δευτεραῖα ἐπὶ ταχύτητι κομίζονται τῶν Ῥωμαϊκῶν. ᾔεσαν μὲν γὰρ διὰ τοῦ ποταμοῦ, Ῥωμαῖοι δὲ παρατάξεως σχῆμα ποιησάμενοι κατὰ μέσον ἀπολαμβάνουσιν αὐτοὺς συχνά τε τοῖς τοξεύμασιν ἔβαλλον, ἐφ᾿ οἷς ἀπειρηκότες ἐκεῖνοι πρύμναν ἐκρούσαντο. αἱ μὲν οὖν ἄλλαι νῆες αὐτῶν θατέρᾳ τοῦ ποταμοῦ πελάσασαι ὄχθῃ τὸν κίνδυνον ἔφυγον, μία δὲ αὐτῶν ἀνδρῶν πλέα τῶν παρ᾿ αὐτοῖς στρατηγούντων ὑποχείριος Ῥωμαίοις ἐγένετο σκευαστῷ πυρὶ καταπλήξασι ταύτην. Οὖννοι τοίνυν, ἐπειδὴ καὶ ταύτης ἀπετύγχανον τῆς πείρας, ἐφ᾿ ἑτέρας ἐτράποντο. τῶν γὰρ τῷ Στεφάνῳ διυπηρετουμένων Οὔννων χρήμασί τινας ὑποκλέψαντες δηλητήριον τῷ ἀνθρώπῳ κεράσαι ἀνέπεισαν. κἀντεῦθεν ἥ τε πόλις ἑάλω καὶ Σίρμιον ἅπαν ὑπὸ Οὔννους αὖθις ἐγένετο. οἱ μέντοι ἔνδον Ῥωμαῖοί τε καὶ Οὖννοι, ὅσοι σὺν τῷ Στεφάνῳ ἐτάττοντο, ἀσινεῖς διεγένοντο, ἅτε ὁμολογίᾳ τοιαύτῃ τὴν πόλιν ἐνδόντες αὐτοῖς. Οὖννοι δὲ τῷ τοῦ Στεφάνου ἐνυβρίζοντες νεκρῷ τὸ μὲν πρῶτον οὔτε ὁσίας μετέδωκαν οὔτε τινὸς ἄλλου τῶν ἐπὶ τεθνεῶσι νομίμων ἠξίωσαν, πρὸ δὲ τῶν τῆς πόλεως ἔκθετον ποιησάμενοι πυλῶν, ἄταφον μένειν ἐδικαίουν. ὀψὲ δ᾿ οὖν ὑπὸ τῆς φύσεως παρακληθέντες ἐς τὸν Στεφάνου τοῦ πρωτομάρτυρος ἄγουσι νεών, ἔνθα τῷ χώματι τοῦτον ἔδωκαν (pp. 236_{18}—237_{1}; 238_{6}—240_{3}).

се застояха около стените на града и често правеха несполучливи опити, разбраха, че мъчно ще превземат крепостта, защото ромейските кораби, спрели на близкия бряг на река Дунав, подпомагаха значително обсадените ромеи, освен това изтегляха тия, които бяха получили рани през време на сраженията, и докарваха вместо тях нови, свежи сили. Унгарците също събраха кораби и преди още да пристигнат войските на Гавра и Врионий в унгарската страна, се устремиха по реката срещу ромейските кораби, за да ги потопят и да ги надвият в битка без много усилия. Техните кораби, съвсем неудобни по направа и несъразмерни по ширина, отстъпваха пред ромейските по бързина. Още докато се носеха по реката, ромеите с наредените в боен строй кораби ги нападнаха по средата и ги обсипаха с много стрели. Смутени от тях, онези обърнаха корабите си обратно. Останалите им кораби, като достигнаха другия бряг на реката, избягнаха опасността, но един от тях, в който се намираха техни военачалници, бе заловен от ромеите и те с приготвен огън го опожариха.[1] Ето защо унгарците, след като претърпяха несполука и в този си опит, се насочиха към друг. Те подкупиха някои от тези унгарци, които бяха на служба при Стефан[2], и ги склониха да го умъртвят с отрова.[3] По този начин и градът беше превзет, и целият Сирмий[4] мина отново под властта на унгарците. Но тия ромеи и унгарци в града, които бяха на служба при Стефан, останаха невредими, понеже с такова условие предадоха града. А с трупа на Стефан унгарците се погавриха, първо, като го лишиха от дължимите обреди и не му отдадоха никаква друга почит, която се дължи на мъртвците, след това, като го захвърлиха пред вратите на града и го оставиха непогребан. По-късно, заставени от природата, те го занесоха в храма на първомъченик Стефан, където го заровиха.

16. Romani exercitum Serdicae ad bellum cum Hungaris gerendum colligunt

Τούτων ἀκούσας βασιλεύς, καίτοι τῆς βασιλίδος νόσῳ βαρείᾳ τῷ τηνικάδε πιεζομένης, αὐτὸς δαιμονίᾳ τινὶ ὥσπερ εἰώθει κεκινημένος

16. Византийците събират войска в София за война срещу Унгария

След като императорът узна това, макар че по това време императрицата беше измъчвана от тежка болест, възпламенен от някакъв божествен огън, както се случваше [с него], всецяло се отдаде на войната. Той

[1] С помощта на т. нар. гръцки огън. [2] Бившият унгарски крал Стефан IV, преминал на страната на император Мануил, ръководил защитата на гр. Землин. [3] Никита Хониат (Nic. Choniatae Historia, ed. Bonn, кн. IV, pp. 167—168) съобщава, че един от слугите на Стефан превързал рана на господаря си, като я намазал с отрова. Това станало, преди още да пристигнат войските на Гавра и Врионий, през април 1165 г. [4] Т. е. цялата Сремска област.

ὁρμῇ καθίστατο πρὸς τὸν πόλεμον. ἐν Σαρδικῇ τοίνυν τῇ Ἰλλυριῶν γενόμενος μητροπόλει ἐνταῦθα τὸν στρατὸν ἤθροιζεν. Ἰουνίου δὲ φθίνοντος ἐκεῖθεν ἄρας ἐπὶ τὸν Ἴστρον ἦλθε. μέλλων δὲ ἤδη περαιοῦσθαι κατὰ τάδε ἐποίει. ὁπόσον ἐν τῷ στρατεύματι ὁπλίσει τε διαφέρον καὶ μαχιμώτερον ἦν, ἀντικρὺ Χράμου πόλεως ἔστησεν Οὐννικῆς, δόκησιν παρέχων ὡς αὐτίκα ἐκεῖθεν περαιωσόμενος. ὅθεν καὶ ἐπειδὴ ἀντίπορθμον ἐνταῦθα τὸ Οὐννικὸν ἑστὼς εἶδεν, ἐπὶ Βελέγραδα μεταβὰς ὄρθρου ἐκεῖθεν ἀπέπλει. ἐντεῦθέν τε διῃρῆσθαι συνέβαινε τοὺς πολεμίους ἑκατέροις ἀντιτάξασθαι διανοουμένους μέρεσι. πλὴν ἀλλὰ καὶ οἱ Ῥωμαῖοι ὀκνήσει πολλῇ ἐς τὴν διάβασιν εἴχοντο, ὃ γνοὺς βασιλεὺς αὐτὸς πρὸ τῶν ἄλλων, ὁποῖα πολλάκις ἤδη τολμήσας ἔτυχε, λεμβαδίῳ ἐπιβὰς ἐπὶ τὴν ἀντιπέρας ἐφέρετο ὄχθην, ἑξῆς δὲ καὶ ὁ Ῥωμαίων στρατὸς τὴν βασιλέως ὁρμὴν αἰδεσθέντες ἐπὶ τὰς ναῦς ἐχώρουν. Οὖννοι δὲ ἐπειδὴ βασιλέα περαιωσάμενον εἶδον, ἔλυόν τε παρ' αὐτὰ τὸν συνασπισμὸν καὶ ἀνεχώρουν ὀπίσω. ὅτε συνέβη τῷ βασιλεῖ ἐν τῇ πρὸς τὴν πολεμίαν ἀποβάσει πλέον ἢ ἐχρῆν ἁλομένῳ (οὐδὲ γὰρ συνεχώρει τὸ τεναγῶδες τῇ χέρσῳ διοκεῖλαι τὴν ναῦν) θάτερον παρασφήλαντα τοῖν ποδοῖν πονήρως αὐτὸ διατεθῆναι. ὁ δὲ οὐδὲ ὣς τῆς ἄγαν ἤθελε λήγειν προθυμίας, ἀλλά τινα τοῦ ποταμοῦ γὰρ οὖν ἐπειγόμενος ἐκτροπήν, ἐν τούτῳ τε διημερεύσας τῷ πόνῳ εἰς ὄγκον ἐπῆρε τὸ πεπονηκὸς αὐτῷ τοῦ ποδὸς μέρος. τῶν δὲ τὴν Ζεύγμιν φρουρούντων βαρβάρων ὡς πλεῖστοι τειχέων ἐκδραμόντες ὡς ἀντιταξόμενοι ἔστησαν. ἀλλ' ἅμα τε βασιλέα εἶδον καὶ ἄλλος ἄλλον προφθάνειν ἐπειγόμενοι ταραγμῷ καὶ θορύβῳ ἐς τὴν πόλιν εἰσέπιπτον ἐπεξιέναι τε οὐκέτι ἐτόλμων. καὶ λοιπὸν Ῥωμαῖοι τὰ πρὸς τειχομαχίαν ἐξηρτύοντο. τρίτῃ δὲ μετ' ἐκείνην ἡμέρᾳ καὶ ἔργου εἴχοντο. οἱ δὲ βάρβαροι ἐκ τῶν ἐπάλξεων ἀμυνόμενοι κεκραγμῶν τινων καὶ ἀσήμων ἀλαλαγῶν τὸν ἀέρα ἐπλήρουν ἔβαλλόν τε διηνεκὲς καὶ ἐβάλλοντο. ἀλλ' ἐπὶ τοιούτοις μὲν ἡ αὐτίκα καὶ ἡ μετ' ἐκείνην ἠνάλωτο, καὶ οὐδὲν οὔτε Ῥωμαίοις οὔτε Οὔννοις προὐχώρει. ἐγὼ δὲ καὶ ἄλλα μὲν τῶν εἰς ἐκείνην τετελεσμένων θαυμάζειν ἔχω τὴν πολιορκίαν, τήν γε μὴν τοῦ βασιλέως τόλμαν, εἰ μὴ παρὼν ἐτύγχανον τῇδε τῶν πραττομένων αὐτόπτης

отиде в Сердика,[1] столицата на илирийците, и събра там войска. Оттам, след като бе изминал месец юни, вдигна лагера си и стигна до Дунава. Като възнамеряваше да го премине веднага, намисли следното. Колкото отлични по въоръжение и храброст мъже имаше във войската, постави ги пред унгарския град Храм, като даваше вид, че веднага ще премине от това място. Когато видя оттам разположената на отсрещната страна унгарска войска, той се отправи за Белград и щом се развидели, отплува оттам. Поради това стана така, че неприятелите се разделиха, докато се опитваха да се противопоставят на две страни. Но освен това не помалко се изплашиха от преминаването и ромеите. Императорът, щом забеляза това, сам пред другите, както вече често се случваше да проявява смелост, влезе в ладия и премина на отсрещния бряг. Веднага след него ромейските войници, засрамени от смелата постъпка на императора, се качиха на корабите. Унгарците пък, след като видяха, че императорът е преминал реката, веднага разстроиха бойния си ред и отстъпиха назад. Тогава случайно императорът при слизането си на неприятелска земя скочи повече, отколкото беше нужно (защото някакво блато пречеше корабът да се приближи до брега), отплесна си единия крак и го навехна силно. И при този случай той не пожела да отслаби своето усърдие: докато участвуваше в опитите да се отклони по някакъв начин реката и в тази работа прекара целия ден, навехнатата част на крака му се поду. Много от варварите, които отбраняваха Зевгмин, излязоха вън от стените и се приготвиха да се сражават. Но когато видяха императора, разбягаха се един през друг в надпревара, в безредие и уплаха се завърнаха в града и вече не се осмеляваха да излязат. След това ромеите се приготвиха за обсада на крепостта и на третия ден се заеха с тази работа. Варварите, които се сражаваха от крепостните стени, изпълваха въздуха с някакви викове и неясни възгласи, хвърляха непрекъсвато стрели и бяха замервани. В такива действия премина този и следният ден, без да напреднат нито ромеите, нито унгарците. Аз се учудвам и на други извършени през време на тази обсада подвизи, но особено [се учудвам] на безстрашието на императора. Ако не бях случайно присъствувал[2] там и

[1] В София бил сборният пункт на императорските войски. С императора бил отнсво Бела, младият син на унгарския крал. Срв. *Тивчев*, За участието на българи във византийската войска, стр. 90. [2] Подробното описание показва, че Кинам е бил очевидец на тези събития. *Ф. И. Успенский*, История Византийской империи, т. III, Москва, 1948, стр. 270,

γινόμενος, σχολῇ ἂν ἀφηγουμένοις ἐπίστευσα. Ῥωμαῖοι γὰρ ξύλινον τεκτηνάμενοι πύργον ἀναβαίνειν ἐπὶ τὴν πόλιν διενοοῦντο, ὡς ἀπὸ χειρὸς τοῖς ἐπὶ τῶν ἐπάλξεων ἀντικαταστησόμενοι βαρβάροις. ὁ δὲ πρῶτος τῶν ἄλλων ἀναβαίνειν ἠξίου „ταύτην δέ μοι“ λέγων „ἄνδρες Ῥωμαῖοι, μείζω τῶν ἄλλων χαριεῖσθε τὴν εὔνοιαν, εἴ γε ἀναβαίνοντα κωλύετε μηδέν.“ οὐ μέντοι καὶ ἐξέπραξε τὸ ἐπιθύμημα. οἱ γὰρ προὔχοντες τῶν στρατηγῶν περιστάντες αὐτῷ ἰσχυρότατα διεκώλυσαν. ὁ δὲ κύκλῳ τὸ τεῖχος περιιὼν αὐτό τε ὅθεν ἐπίμαχον μάλιστα ἦν διεσκοπεῖτο καὶ τὰς τάφρους, αἳ τὴν πόλιν ἐζώννυον, βάθους τε καὶ εὔρους ἱκανῶς ἔχουσαι, φακέλλων τινῶν καὶ φρυγάνων ἀπορίᾳ λίθων ἐκέλευε πληροῦν οὕτω τε διαββάζειν τὰ μηχανήματα· ἤνυστο δὲ ὅμως ἐπὶ τῇ τῆς πόλεως ἁλώσει οὔπω οὐδέν. Οὖννοι γάρ, καίτοι μεγάλα πρὸς Ῥωμαίων βιαζόμενοι στρατιωτῶν, ἐπαιάνιζόν τε μᾶλλον ἢ πρότερον καὶ ἐλπίσιν ὠχοῦντο παρὰ πόδας αὐτοῖς τὸν ἄλλον ἰέναι τῶν Οὔννων στρατόν.

Ἐπὶ τοιούτοις τῶν πραγμάτων ἠρτημένων, προσιόντες οἱ Ῥωμαίων σκοποὶ μεγάλου ἔφοδον ἐμήνυον στρατεύματος αὐτοῖς. κόνιν γὰρ ἐπὶ πλεῖστον τοῦ ἀέρος ὀρθιάζουσαν ἰδέσθαι. ἀλλὰ καὶ τῶν τις Οὔννων τύχης ἐπιφανοῦς Βασάκης ὄνομα Ῥωμαίοις προσχωρήσας οὐ μακρὰν ἄποθεν εἶναι τὸν Παιόνων ἰσχυρίζεται ῥῆγα, ἄλλους τε ἀριθμοῦ κρείσσους καὶ δὴ καὶ Σκύθην ὁμοῦ καὶ Ταυροσκύθην ἄγοντα στρατόν, πρὸς οἷς καὶ τὸν Τζέχων ἔλεγε δυνάστην πανστρατὶ καὶ πάλιν σὺν αὐτῷ ἥκειν. τούτων ἐπειδήπερ ὁ βασιλεὺς ἤκουσε, βουλὴν σὺν τοῖς μεγιστᾶσι καθίζει, ὅπως δήποτε χρὴ τὰ παρόντα διοικεῖσθαι ζητῶν. „ἄνδρες ἀμέλει“ ἔφη „Ῥωμαῖοι οὐ τοῦτο μόνον ἡ τῶν πραγμάτων οἶδε φύσις, ἵνα τις μόνον τολμᾷ, ἀλλ᾽ ὡς ἂν τῇ τόλμῃ μὴ ἀξύμβατα καὶ τὰ ἔργα ἐπιτιθῇ, μάλιστα ἔγωγε τῷ καὶ κατὰ βραχὺ σωφρονοῦντι περὶ πλείστων εἶναι οἰόμενος. μὴ τοίνυν, ἐπειδὴ τὸ ἔθνος τοῦτο ἐκ παραλόγου τινὸς ἄνωθεν τύχης εὐημερῆσαν δυσαντίβλεπτον τῇ Ῥωμαίων κατέστη ἀρχῇ, διὰ ταῦτα ἀποχρῆν ἡμῖν οἰηθῶμεν, εἰ μόνον ἐπὶ γῆς στρατεύοιμεν τῆς αὐτῶν. ἀλλ᾽ ἀπονεμητέον ἑκάστῳ καιρῷ τὸ προσῆκον καὶ ἀποδοτέον καταστάσει τῇ παρούσῃ πρᾶξιν τὴν δέουσαν. οὐ γὰρ ταὐτὰ εὐημε-

не бях видял с очите си това, което се вършеше, мъчно бих повярвал на чуждите разкази. Ромеите бяха замислили да построят дървена кула и да се прехвърлят по нея в града, за да се сражават в ръкопашен бой със защитниците на крепостта. Той пръв от всички пожела да се прехвърли с думите: „Ще ми отдадете, ромеи, по-голямо благоволение, отколкото на другите, ако не ме възпрете да се покача.“ Но не можа да изпълни желанието си, защото по-видните военачалници го обградиха и най-твърдо се възпротивиха. Той пък обходи наоколо стените и разгледа откъде са те най-леснодостъпни и заповяда рововете, които опасваха града, доста дълбоки и широки, да се запълнят с камъни поради липса на съчки и клони и така да се пренесат [през тях] обсадните машини. Но и това не допринесе никак за превземането на града. Защото унгарците, макар и притискани здраво от ромейските войни, надаваха още по-силни викове, отколкото преди, и се крепяха с надеждата, че веднага ще им дойде на помощ друга унгарска войска.

При този развой на нещата ромейските съгледвачи съобщиха, че настъпва срещу тях голяма войска. Те видели, че се вдига прах нависоко във въздуха. Също и един от знатните унгарци, на име Васак, който беше преминал на страната на ромеите, уверяваше, че унгарският крал се намира на немного далечно разстояние и води със себе си друга безбройна войска, сред която имало и скитски, и тавроскитски отреди.[1] Васак казваше, че с него идвал отново сега и чешкият владетел с цялата си войска. След като императорът чу това, свика съвет на велможите и пожела да узнае мнението им за това, какво трябва да се прави. „Естествено, мъже ромеи — каза той, — не само природата на нещата ни принуждава да проявяваме смелост, но и да не прибавяме към смелостта си необмислени неща и според мене това важи най-вече за този, който набърже трябва да се съобразява с много неща. И така, понеже това племе неочаквано, облагоприятствувано поради някаква милост на съдбата, нападна ромейската държава, нека да не смятаме, че е достатъчно за нас, ако само водим война на тяхна земя. Трябва да се има пред вид необходимото при всеки удобен случай и да се извърши това, което се изисква от настоящото положение. Защото аз не смятам, че едни и същи работи подхождат и за тези, които имат благопо-

[1] По всяка вероятност става дума за спомагателния отред от кумански и руски войници. По-нататък не се споменава нищо за тази войска.

ροῦσιν οἶμαι καὶ δυσπραγοῦσιν ἁρμόσαιεν ἂν πράγματα· καὶ τῇ Ῥωμαίων τοίνυν ἀρχῇ, εἰ καὶ τῆς παλαιᾶς οὔπω τετύχηκεν εὐκληρίας, ἀλλὰ (σὺν θεῷ φάναι) πολλῷ βελτίονι ὑφ' ἡμῖν ἀναφανείσῃ προασπισταῖς, εἰς εὐδοξίαν περιστήσεται πάντως ἐκ ποδῶν τῷ Οὔννων γενέσθαι ῥηγί, σὺν πολλῷ μὲν ὥς φασι καὶ τῷ αὐτόχθονι ἐπιόντι στρατῷ, πλείονι δὲ καὶ τῷ ἀπὸ συμμαχίδος συγκροτουμένῳ χειρός. ὅπως οὖν ἀμφότερα ταύτῃ περισωθείη, δόξα τε ἣν εἰς τὸ βέλτιον ἤδη μεταβαλοῦσαν ἔσχε, καὶ δύναμις ἡ αὐτῆς ἀκραιφνὴς ἐντεῦθεν ἀπαλλαγείη, βουλευτέον ὡς ἔνι μάλιστα." βασιλεὺς μὲν τοσαῦτα εἶπε. Ῥωμαίων δὲ τῶν ἐκ βουλῆς τοῖς μὲν μεταστρατοπεδεύσασθαι ἐντεῦθεν ἐπὶ Σάόν τε τὸν χάρακα πήγνυσθαι ἐδόκει, ὅπως ἐντεῦθεν σὺν τῷ ἀσφαλεῖ τοῖς πολεμίοις ἀντιφέρεσθαι δύναιντο, τοὺς δὲ τοῦτο μὲν οὐδαμῇ ἤρεσκε, τῆς πολιορκίας δ' ἀφεμένους ἐδόκει δυνάμει τῇ πάσῃ ἐπιὸν ὑποστήσεσθαι τὸ πολέμιον. ἀλλὰ βασιλεὺς ἀμφότερα οὐκ ἐπῄνει· τὸ μὲν γὰρ δειλίαν, τὸ δὲ καὶ ἀβουλίαν ἀπεψήφιστο ἄντικρυς. „ἐξέσται γὰρ" ἔλεγε „τῆς πολιορκίας ἀποσχομένων ἡμῶν, δύναμίν τε πολλὴν τῆς νῦν μείζω καὶ τὰ ἐπιτήδεια διαρκῶς ἐσκομίσασθαι Οὔννους, οἳ ἀμφὶ τῇ πόλει φρουρὰν ποιοῦνται." ἐδόκει δὲ αὐτῷ τὸ μὲν ἀχρειότερον τοῦ στρατοῦ καὶ ὅσον οἰκετικὸν ἦν ὅπλα περιθέμενον αὐτοῦ πρὸς τῇ πόλει μεῖναι ὑπὸ στρατηγοῖς τισι τῶν οὐ λίαν ἐπισήμων, τὸ δ' ἄλλο ἅπαν ἅμα αὐτῷ ἐπὶ Οὔννους τοὺς ἄλλους ἰέναι μαχησόμενον. ὡς οὖν ἐκράτει ταῦτα, παρεσκευάζοντο μὲν τῆς ἐπιούσης ἐκεῖθεν ἀναστησόμενοι, ἐπεὶ δὲ οὐδὲν οὐδέπω σαφὲς αὐτοῖς ἀπηγγέλη, ἐξοπλισάμενοι ἕωθεν καὶ τρίτην ἤδη πεῖραν προσῆγον τῇ πόλει. μάχη τοίνυν αὖθις συνίσταται, καὶ Οὖννοι μὲν οἱ ἐπὶ τῶν ἐπάλξεων λίθοις καὶ βέλεσι καὶ παντὶ τῷ παρατυχόντι τὸν Ῥωμαίων ἠμύνοντο στρατόν, οἱ δὲ μᾶλλον ἢ πρότερον ὑπώρυσσόν τε τὰ κρηπιδώματα καὶ τοῖς πετροβόλοις τὰς τῶν λίθων διεσπάραττον ἐμβολάς, παρακελευσμοί τε συχνοὶ καὶ παραινέσεις ἑκατέρων ἠκούοντο, καὶ βοὴ καὶ ἀλαλαγμὸς ἦν, καὶ θροῦς ἠγείρετο ἄσημος. Οὖννοι τοίνυν τοὺς ἐπὶ τῶν θεμελίων ὑπομοχλεύοντας θεώμενοι Ῥωμαίων τοιάδε ἐποίουν. λίθος μέγα τι χρῆμα ἐντὸς τειχέων κείμενος ἦν· τοῦτον ὑπὸ ξυλώμασιν ἐνθέμενοι σχοίνους τε ἀνάψαντες σφῶν ἐπὶ τὸ ξύλινον ἀνεῖλκον προπύργιον ὅπερ αὐτοῖς κατεσκεύαστο τειχέων ὑπεριστάμενον, ὡς

лучия, и за тези, които търпят несполуки. Ето ромейската държава, макар че още не е достигнала някогашната си слава, все пак (нека го кажа с божие позволение), доведена под наша закрила до по-добро състояние, ще бъде изложена на опасност, ако отстъпим пред унгарския крал, който настъпва, както казват, с голяма местна войска, подпомогнат и от многобройни съюзни войски. Затова трябва да се погрижим колкото се може повече да спасим и двете неща — и славата, която вече тръгна към по-добро, и войската ѝ, която трябва да се спаси непокътната оттук." Императорът каза тия думи. Някои ромеи, които присъствуваха на това съвещание, предложиха да се премести[1] лагерът оттам към Сава и да се укрепи, за да могат оттам да се противопоставят сигурно на неприятеля. Други пък никак не одобряваха това; те предлагаха да се изостави обсадата и с цялата войска да се насочат към приближаващия неприятел. А императорът не одобри нито едното, нито другото мнение. Той отхвърли открито едното като страх, а другото — като безразсъдство. „Ако ние вдигнем обсадата — каза той, — унгарците, които сега отбраняват града, ще имат възможност да съберат по-голяма войска от сегашната и да се снабдят изобилно с храна." Той предложи по-слабата част от войската и обозът да се въоръжат и да останат около града под командуването на някои не твърде известни военачалници, а цялата друга войска да тръгне заедно с него да се сражава срещу останалите унгарци. След като надделя това предложение, започнаха да се готвят да тръгнат на поход през следния ден. Но понеже не им беше известно нищо определено, те се въоръжиха на разсъмване и предприеха вече трето нападение срещу града. Отново се завърза сражение и унгарците от зъберите на крепостните стени с камъни, стрели и с всичко, каквото им попадне, отблъсваха ромейската войска. Те пък повече от преди подриваха основите и с каменометните машини рушаха каменните прегради. Чуваха се много насърчения и окуражавания и от двете страни, настана шум и олелия, вдигна се и безреден крясък. А унгарците, като гледаха, че ромеите подравят основите, направиха следното. Отвътре крепостните стени имаше грамаден камък. Те го поставиха върху дървени греди, като го привързаха с въжета, и го издигнаха на дървена кула, която бяха изработили по-висока от стените, за да го

[1] Това означавало византийците да отстъпят значително на юг от Землин.

ἐκεῖθεν ἐπὶ Ῥωμαίους ἀφήσουσιν. ἀλλ' ἄρτι ὁ λίθος ὡμίλει τῷ πυργίῳ, τὸ δὲ οὐκ ἐνεγκὸν τὴν ὁλκὴν (μέγας γὰρ ὑπερφυῶς ἦν) ἐξαπιναίως ῥαγὲν εἰς γῆν ἠνέχθη σὺν τῶν Οὔννων πολλοῖς, καὶ αὐτῶν οὐδεὶς τὸν κίνδυνον ἔφυγε. θροῦς τοίνυν καὶ πάλιν ἠγέρθη καὶ ἡ μάχη ἔτι μᾶλλον ἐμαίνετο. ὅτε λέγεται, ὡς Ῥωμαίων τινὰ εὐστοχώτατα ἐπιτοξαζόμενον βασιλεὺς κατανοήσας ἐπέδραμέ τε καὶ τὴν ἀσπίδα προτείνας ἀπαθῆ βελῶν συνετήρει τὸν ἄνθρωπον.

хвърлят оттам срещу ромеите. Но току-що беше вдигнат камъкът върху куличката, тя не можа да издържи такава тежест (защото беше прекомерно голям), неочаквано се прекърши и се срути на земята заедно с много унгарци, от които никой не избягна опасността. Отново се вдигна голяма олелия и сражението се ожесточи още повече. Казват, че тогава императорът, след като забелязал някого от ромеите точно улучен със стрела, му се притекъл на помощ, протегнал отпред щита си и спасил човека, без да пострада от стрелите.

Οὖννοι δέ, ἐπειδήπερ ἐν στενῷ κομιδῇ περιστῆναι σφίσι τὰ πράγματα ἔγνωσαν, πέμψαντες ἔχρῃζον βασιλέως, ὡς ἐνδόντες τὴν πόλιν αὐτῷ ἀθῷοι ἐντεῦθεν λοιπὸν ἀπαλλάξωσιν. ὁ δὲ οὐ πρότερον ἔφη τοῦτο ποιήσειν πρὶν ἂν καλώδια τῶν τραχήλων Γρηγόριός τε καὶ τῶν ἐν σφίσι ζουπάνων οἱ ἄλλοι ἀναψάμενοι γυμνωθεῖσι ποσὶ καὶ ἀκαλυφέσι ταῖς κεφαλαῖς ταῖς αὐτῶν ἔλθοιεν. ὁ μὲν δὴ ἐπὶ τοιούτοις αὐτοὺς ἀπεπέμψατο, Ῥωμαῖοι δὲ σφοδρότερον ἐπιβρίσαντες τὴν πόλιν εἷλον, ἧς ἤδη ἁλισκομένης, Γρηγόριός τε καὶ οἱ σὺν αὐτῷ στρατηγοὶ τῶν Οὔννων σὺν ἀτιμίᾳ τρόπον τὸν εἰρημένον ἐλεεινοὶ τῶν σχημάτων βασιλεῖ προσιόντες ἔκλαον. ὁ δὲ μέχρι μέν τινος οὐδὲ προσβλέπειν ἠξίου, ὀψὲ δὲ πολλὰ τοῦ Βελᾶ παραιτησαμένου, τὸν μὲν φόνον ἀφῆκεν, ἐς δὲ φρουρὰν αὐτίκα ἔπεμψε. Ῥωμαῖοι δὲ θυμῷ μεγάλῳ εἰς τὴν πόλιν εἰσιόντες ἅτε ἄρνας τοὺς τῇδε κατέθυον ἀνθρώπους. ὅτε μοι καὶ δακρῦσαι ἐπῆλθε βίον ἐννοουμένῳ τὸν ἀνθρώπειον ὅσοις τε τὸ δείλαιον τοῦτο γένος ἑκουσίοις ἑαυτὸ ξυνέδησε κακοῖς. ἤγοντο κειμήλια καὶ ἱματισμοὶ καὶ ἀργυρώματα, καὶ πάντα τὰ ἐκείνων ἐληΐζετο ἀγαθά. ὅπλοις τοῖς ἐχθρῶν ἠμπίσχετο ἕκαστος καὶ τῶν ψιλῶν τούτων καὶ ἀνόπλων μαχητῶν, ὅτε δὴ καὶ γύναιόν τι εὕρετο δύστηνον διεληλαμένην ἀκίδα τῆς ἕδρας ἔχον. πόθεν δὲ αὐτῷ τοῦτο συνέβη, αὐτίκα δηλώσω. αὕτη, ὁπηνίκα ἔτι ἀνάλωτος ἦν ἡ πόλις, ὑπὲρ τῶν τειχέων ἑστῶσα σποδόν τε κατέσειε καὶ τὰ ἱμάτια κόσμῳ οὐδενὶ ἀναστρέψασα τὴν ἕδραν παλιντρόπῳ τῷ προσώπῳ ἐς τὸν Ῥωμαίων ἐδείκνυε στρατόν, ἀπέραντόν τέ τινα βαττολογίαν ἐπιψάλλουσα δαιμονιώδει τινὶ μαγγανείᾳ Ῥωμαίους ξυνδεῖν ᾤετο. ἀλλά τις στρατιωτῶν βέλος ἐπ' αὐτὴν ἀφεὶς κατατυχεῖ τῆς ταλαιπώρου, ἔνθα τὸν τοῦ σκυβαλισμοῦ παράπομπον ἡ φύσις αὐλῶνα ἵδρυσεν. εὕρετο δὲ καί τις Ῥωμαίων δεσμώτης ὁ τλήμων ἐπὶ σκολιώδους τι-

Унгарците, след като разбраха, че положението им е съвсем безнадеждно, изпратиха пратеници да молят императора, след като му предадат града, да се оттеглят оттам здрави и читави. Той отговори, че не ще се съгласи на това, преди да дойдат Григорий[1] и другите техни жупани вързани с въжета за шиите, боси и гологлави. И така той ги отпрати с такъв отговор, а ромеите още по-силно нападнаха града и го превзеха.[2] След неговото превземане Григорий и унгарските пълководци, които бяха заедно с него, дойдоха пред императора безславно по указания начин, в окаян вид и с ридания. А той известно време не желаеше да ги удостои с поглед, по-късно обаче, след намесата на Бела,[3] им подари живота и веднага ги задържа под стража. Ромеите влязоха в града с голямо настървение и колеха хората в него като овце. Тогава очите ми се напълниха със сълзи, като наблюдавах човешкия живот — какви нещастия навлече сам на себе си този нещастен народ! Задигаха се съкровища, дрехи и скъпоценности, разграбваха се всичките им имущества. Всеки задигаше неприятелски оръжия — бойците бяха оставени без тях и невъоръжени. Тогава беше открита една нещастна жена, чието седалище беше улучено от стрела. Как ѝ се е случило това, ще изложа сега. Преди още да бъде превзет градът, тя стояла върху стените и хвърляла пепел, без никакъв срам съблякла дрехите си и с извърнато лице показвала седалището си на ромейските войници, като дърдорела и бръщолевела безкрайно. Тя мислела, че чрез някакво дяволско заклинание ще направи магия на ромеите. Но някой от войниците пратил по нея стрела, която улучила нещастницата там, където природата е поместила канала, отвеждащ изпражненията. Беше открит също един ромейски пленник, бутнат в ня-

[1] Вероятно главнокомандуващият на унгарските защитници на града. [2] Превземането на Землин и Сирмий станало в 1165 г. [3] Бъдещият унгарски крал Бела се застъпил за своите сънародници.

νὸς καὶ ἀνηλίου καθειργμένος δωματίου ἀπ᾽ αἰτίας τοιᾶσδε. τοῦτον Οὖννοι αἰχμάλωτον ἤδη πεποιημένοι, ἅτε τοξείας εὖ εἰδότι Ῥωμαίοις ἐκ τοῦ περιβόλου ἐπιτοξάζεσθαι ἀνάγκην προσῆγον. ὁ δὲ οὐ σὺν γνώμῃ μὲν ἠφίει δ᾽ ὅμως πυκνά, πάντα δὲ ἁμαρτεῖν ἐποίει. ὅπερ Οὖννοι κατανοήσαντες ξαίνουσί τε τῷ ἀνθρώπῳ κατὰ νώτου πολλὰς καὶ σὺν ἀσφαλείᾳ καθείρξαντες εἶχον. οὕτω μὲν δὴ Ζεύγμη καὶ πάλιν ἑάλω· ὅτε πολλοὶ μὲν καὶ ἄλλοι λόγου καὶ ἀρετῆς εἰργάσαντο ἄξια, οὐχ ἥκιστα δὲ καὶ Ἀνδρόνικος ὁ Δούκας. ἐπειδὴ γὰρ Ῥωμαίους διὰ κλίμακος ἀναρριχωμένους ἐπὶ τὸ τεῖχος εἶδεν, Ἀνδρονίκῳ τῷ βασιλέως ἐξαδέλφῳ προσιών, ἐφ᾽ ὃν τελεῖν ἔλαχεν ἤδη ἐκ Ταυροσκυθῶν ἀφικόμενον ἵλεώ τε τοῦ βασιλέως τυχόντα, ἠξίου ἐνδοθῆναι αὐτῷ τῆς ἀνόδου πειρᾶσθαι, τοῦ δὲ ἐπιτρέψαντος σπουδῇ πολλῇ ἐς τοῦτο ἐχώρει. ἐπειδὴ δέ τινες Λατίνων κατόπιν ἰόντες παρελθεῖν ἐφιλονείκουν αὐτόν, ὁ δὲ ἀντέπραττε σφίσι πολλὰ καὶ οὐδαμῇ τοῦ κλέους συγχωρεῖν ἤθελεν. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, ἡ κλῖμαξ αἰφνίδιον εἰς γῆν ἠνέχθη κατασπασθεῖσα. ἀλλ᾽ ὁ Ἀνδρόνικος τοῦ συνήθους καὶ πάλιν ἀντέκειτο θράσους. ἐπειδὴ γὰρ ἑτέρας ἐνεχθείσης ἀναβαίνοντάς τινας αὖθις εἶδε, δραμὼν ἐπέβαινε καὶ αὐτός. ταῦτα μὲν τῇδε ἐχώρησε. Στέφανος δὲ ὁ ῥὴξ τῇ τῆς πόλεως πεποιθὼς ἀσφαλείᾳ (πρὸς γὰρ τοῖς ἄλλοις καὶ ὀχετός αὐτὴν ἐκ τῶν Ἴστρου ἐπότιζε ναμάτων, ὃς τὸ μὲν πρῶτον εἰς τὸ ἐμφανὲς ἔκειτο ὕπαιθρος ἐπὶ τὴν πόλιν ἀνατείνων, εἶτα βασιλέως Στεφάνῳ ἐκείνῳ συναραμένου ὑπόνομος ἤδη κατέστη) πιστεύειν οὐκ εἶχεν εὐπετῶς οὕτω Ῥωμαίοις ἁλώσεσθαι ταύτην. ὡς δὲ βασιλεὺς ἐκεῖθεν μεταβὰς ἕτερόν τι φρούριον ἐνεούργει, ἐν ᾧ πολλοὺς τῶν ἐν Σιρμίῳ φέρων ᾤκίσατο Οὔννων, οὓς παρ᾽ αὐτοῖς Χαλισίους ἔθος καλεῖν ἐστι (καί εἰσιν ἑτερόδοξοι, καθάπερ ἤδη ἔφην, Πέρσαις ταυτοφρονοῦντες), τότε δὴ τὰ ἀμφὶ τῇ πόλει Ζεύγμῃ ξυμπεπτωκότα μαθὼν ἀκριβῶς πρέσβεις ἐς τὸν βασιλέα πέμπει ἄνδρας τε τῶν περιφανῶν καὶ δὴ καὶ τὸν τὴν ἐπίσκοπον τῇδε λαχόντα ἀρχήν, Σίρμιόν τε ἀποδιδόναι Ῥωμαίοις ἐσαῦθις διομολογῶν, πρὸς δὲ καὶ Δαλματίαν πᾶσαν. οἳ καὶ ἐπειδὴ βασιλεῖ εἰς ὄψιν ἦλθον, ἐπεῖπόν τε ὅσα αὐτοῖς ἐπέσταλτο καὶ δὴ ἱκέτευον ἀνεῖναι λοιπὸν βασιλέα τοῦ χόλου. ὁ δὲ τὸ μὲν πρῶ-

какъв мръсен и тъмен затвор по следната причина. След като унгарците го пленили, понеже умеел точно да хвърля стрели, принудили го да отправя от крепостната стена стрели срещу ромеите. Той все пак изпращал много стрели, но без желание и нарочно не улучвал. След като унгарците забелязали това, силно наложили човека със сопи по гърба и го затворили на сигурно място. Така беше отново превзет Зевгмин. Мнозина други извършиха тогава дела, достойни за похвала на смелостта, но не по-малко и Андроник Дука. Когато той видя, че ромеите се опитват със стълба да се изкачат на стената, приближи се до Андроник, братовчеда на императора, под чието предводителство бил воювал, когато той се завръщал от Тавроскития[1] и бил получил милостта на императора, и го помоли да му се даде възможност да се изкачи. След като той му позволи, зае се за това с голямо усърдие. Когато пък някои латинци, които го следваха, искаха да го изпреварят, той се възпротиви силно и по никакъв начин не желаеше да им отстъпи славата. Докато ставаше това, стълбата внезапно се строши и се сгромоляса на земята. Но Андроник отново се възвърна към обичайната си смелост. Когато видя, че някои се изкачват отново на друга вдигната стълба, той се завтече и самият се изкачи. Там той сполучи в това. А крал Стефан[2], убеден в сигурността на града (освен другото пояха го отбити от Дунава води, които течаха към града най-напред явно и на открито, а след това, когато императорът започна война против онзи Стефан, се втичаха вече през подземен канал), не можеше да повярва, че той ще бъде превзет така лесно от ромеите. След като императорът се отдалечи оттам, построи друга крепост, в която пресели много от унгарците в Сирмий, които обикновено се наричат сами хализийци (има и друговерци, както вече казах, които изповядват една вяра с турците). Тогава Стефан, като узнал какво точно е станало с град Зевгмин, изпрати пратеници при императора — мъже знатни, между които беше също и епископът на тази област — и обеща да върне след това на ромеите Сирмий, освен това и цяла Далмация[3]. Щом те дойдоха пред очите на императора, разказаха това, което им беше заръчано, и молеха императора да смекчи

[1] Става дума за бъдещия император Андроник Комнин. Той се бил върнал от престоя си при галицкия княз Ярослав. Срв. *Фрейденберг*, Труд Иоанна Киннама, стр. 40—41. [2] Стефан IV, който бил крал по това време. [3] Тук наименованието Далмация е употребено в по-широко значение; то означава предишната Хърватия (на юг от р. Сава), т. нар. Рама, дори и цяла Босна, а още и същинска Далмация.

τον ἀπέλεγε· „πολλοῦ μένταν ἄξιον εἴη“ λέγων „ἄνδρες πρεσβευταί, εἴ τις ἅπερ ἀφῄρηται ἤδη, ταῦτα διδόναι ἀξιοίη. ἔχομεν Σίρμιον, ἐξείλομεν Ζεύγμιην, Δαλμάτας ἤδη κρατοῦμεν, πάντων καθάπαξ γεγόναμεν κύριοι, ὧν αὐτοὶ διδόντες εἶτα ἀφείλεσθε. ἆρα τοίνυν ἔστι παρ' ὑμῖν Σίρμιον ἕτερον; ἔστι που Ζεύγμη καὶ Δαλματία ἄλλη, ἃ διδόντες νῦν ἡμῖν ἥκετε; εἰ μέν ἐστι, δείξατε δή, ὡς ἡμεῖς γε ὑπτίαις αὐτίκα ὑποδεξόμεθα ταῦτα χερσίν, εἰδότες μέν, ὡς οὐδὲ ταῦτα ὅσον τὸ ἐφ' ὑμῖν καθέξομεν ἀσφαλῶς (μέλησις γὰρ ὑμῖν οὐδεμία πάντα παρανομεῖν), αὐτῇ δ' ὅμως ἰσχύϊ σὺν θεῷ φάναι τῇ ἡμῶν ὥσπερ καὶ τούτων κρατήσοντες. εἰ δὲ ταῦτα μὲν παρ' ἡμῖν ἄρτι κεῖται, ὑμῖν δ' οὐδὲν ὑπολέλειπται ὧν ἄρτι δώσειν φατέ, ἐπὶ τίσιν ἡ σύμβασις; ἢ τί τὸ διαλλάξον ἡμᾶς ἔσται;“ τὸ μὲν δὴ πρῶτον οὕτως αὐτοὺς ἠμείψατο, μεταβαλὼν δ' ἔπειτα „ἀλλ' ἵνα“ ἔφη „γνῶτε, ὡς προῖκα ὑμῖν σπείσασθαι θέλομεν Χριστιανοῖς οὖσιν, ἄγε γινέσθω τὰ ὅρκια.“ ὁ βασιλεὺς μὲν τοσαῦτα εἶπεν, οἱ δὲ διώμοτα πάντα θέμενοι ἀπηλλάγησαν, καὶ ὁ βασιλεὺς λοιπὸν ἐπὶ Βυζάντιον ἦλθεν.

гнева си. Най-напред той не се съгласяваше. „Би било твърде достойно нещо, пратеници — каза им той, — ако някой желае да даде това, което вече му е отнето. Владеем Сирмий, превзехме Зевгмин, държим вече Далмация[1], станахме веднъж завинаги пълни господари на всичко, което сами ни дадохте, а после взехте. Или може би имате друг Сирмий, имате ли друг Зевгмин или Далмация, та сте дошли да ни ги давате? Ако имате, покажете ни ги, за да ги приемем веднага с две ръце, макар че знаем, че поради вас не ще ги владеем със сигурност (защото вие не се стеснявате да действувате противозаконно!), но все пак с божия помощ ще ги владеем с нашата сила, както и първите. Ако положението у нас сега е такова, вие нямате власт над това, което казвате, че ще дадете, но на какви условия ще стане споразумението? А и какво можете да ни отстъпите?“ Той се обърна към тях така, но след това промени речта си и каза: „Но знайте, че с готовност желаем да сключим договор с вас като с християни, затова нека се обвържем с клетва.“ Императорът каза това, а те потвърдиха всичко с клетва и се оттеглиха. Императорът се завърна след това в Цариград.[2]

βασιλεὺς δέ, ὥσπερ ἐλέγομεν, ἐς Βυζάντιον ἐπανιὼν θρίαμβον ἐξ ἀκροπόλεως ἄχρι καὶ ἐς τὸ τῆς Σοφίας μέγα κατήνεγκεν ἱερόν. ἐνταῦθα τε τὰ χαριστήρια θύσας καὶ χρυσίῳ τοὺς ἱεροπόλους δωρησάμενος, ὃ ἐκ Σιρμίου φορολογηθὲν Ῥωμαίοις ἔτυχεν, ἐν παλατίῳ ἡσύχαζεν.

Императорът, както казахме, се завърна в Цариград и премина триумфално от акропола чак до великия храм Света София. Там принесе благодарствени дарове и надари свещенослужителите със злато, което ромеите бяха взели като дан от Сирмий, и след това се оттегли в двореца.

— — — οὔπω δὲ συχνὸς ἐξῆκε χρόνος, καὶ αὖθις Σερβίους τε ὠδίνειν καὶ Παννόνων τὸ ἔθνος μεμαθηκὼς προφθάνειν ἠπείγετο τὴν ὁρμήν. ἀλλ' ἄρτι προσιόντα τοῦτον ἤκουσαν, καὶ τῆς ὁρμῆς ἀνακοπέντες ἀπαράλυτα τὰ δεδογμένα ἐτήρησαν (pp. 240_4—248_{18}; 249_{9-13}; 249_{18-22}).

— — — Не мина много време и той научи, че сърбите и унгарците въстават отново, и побърза да изпревари техните опити. Но те веднага, щом чуха, че той се отправя към тях, се отказаха от кроежите си и запазиха договора необезсилен.

17. Manuel Comnenus iterum exercitum in regionibus Bulgaricis colligit

17. Мануил Комнин отново събира войска в българските земи

οἷα δὲ εἰκὸς συντάσεως ἐκ τῆς ὁδοιπορίας γεγενημένης τινὸς ὄγκος αὖθις ἀνέβη καὶ ὀδύναι τοῦτον ἐκέντουν συχναί. καὶ δὴ ἀμφὶ πόλει Σηλυβρίᾳ τὰς πασχαλίους διαγαγών, ἐπειδήπερ ᾔσθετο ἐν καλλίονι γεγονώς, ἐπὶ τὴν Φιλίππου ἐφέρετο. ἔνθα δὴ πρέσβεσι χρηματίσας ἐκ Παιόνων ἀφικομένοις, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλειν ἔγνω, ἐκεχει-

И както е естествено, настъпи някаква умора от пътя и отново произлезе вълиение и отново го[3] безпокояха много мъки. И след като прекара така в град Силиврия пасхалните дни, щом се почувствува по-добре, той се отправи към Филипопол. Там се срещна с пратеници на унгарците, но след като разбра, че те не му предлагат нищо приемливо,

[1] Приморска Далмация, наричана още Бяла Хърватия, която имала свои крале, различни от сръбските, със столица Салона. [2] Той оставил, преди да замине, в Сирмий част от войската си заедно с Михаил Гавра и Михаил Врана. Областта останала под византийска власт чак до смъртта на император Мануил (1180).
[3] Става дума за Мануил I Комнин.

ρίων δὲ μόνον καὶ ἀνοχήν τινα τοῦ πολέμου ἐκ παντὸς τρόπου πειρῶντας λαβεῖν, αὐτοὺς μὲν ἀπράκτους ἀπεπέμψατο, συνεκπέμψας αὐτοῖς καὶ Ῥωμαίων τινά, ἐφ᾽ ᾧ τόν τε Χαλούφην αἰτήσαιτο καί, εἰ μὴ τοῖς δεδογμένοις ἀγαπῷεν αὐτίκα, καὶ πάλιν ἀπειλῆσαι βασιλέα καὶ τὸν Ῥωμαίων στρατὸν ὄψεσθαι. ὁ δὲ ἐπὶ Σαρδικῆς γεγονὼς ἐνταῦθα τὰς δυνάμεις ἤθροισεν.

Ἔνθα διατριβὴν ποιουμένου συνέπεσέ τι τοιοῦτον. Ἀλέξιος, ὃς τὴν πρωτοστράτορος τότε, ὡς πολλάκις μοι ἐρρήθη, διεῖπεν ἀρχήν, ἐκ πολλοῦ μὲν ἀποστασίαν ὤδινε, τότε δὲ καταφανὴς γεγονὼς τὴν τρίχα ἐκάρη καὶ ἐς τοὺς μοναχοὺς μεταθέμενος ἐπί τι τῶν ὀρεστέρων ἀπήχθη σεμνείων, ἅπερ ἐπὶ Στρυμόνος ἐν ὄρει Παπικίῳ ἵδρυνται πλεῖστα. ἔνθα ἐφ᾽ ἱκανὸν διαγαγὼν ἀπεβίω.

Τὰ μὲν δὴ κατὰ τὸν Ἀλέξιον ἐνταῦθα τύχης ἐτελεύτησε. βασιλεὺς δὲ Οὐννικῶν στρατευμάτων ἐπὶ Σίρμιον διαβάντων δυνάμεις ἐνταῦθα ἔπεμψεν, ὧν ἦρχον ἄλλοι τε τῶν Ῥωμαίων στρατηγῶν καὶ δὴ καὶ Ἀνδρόνικος ὁ βασιλέως ἀδελφιδοῦς ᾧ Κοντοστέφανος ἐπώνυμον ἔκειτο, αὐτοκράτωρ τοῦ πολέμου τοῦδε πρὸς βασιλέως καταστάς. ἀπέσταλτο δὲ αὐτῷ ὅπως τε τάξασθαι χρεὼν καὶ ὅπῃ τὸν πόλεμον τόνδε διαθέσθαι, καθάπερ ἐν πίνακι ἀνεζωγράφηται. Ἀνδρόνικος οὖν ἐπὶ Σάον διαβάς, ἐπειδὴ ἄγχιστα τοῦ Οὔννων ἐγένετο στρατοπέδου, τοιάδε τινὰ ἐποίει. κατοπτῆρας μὲν καὶ σκοπούς, ὁποῖα εἴθισται, εἰς τὸ τῶν πολεμίων καθιέναι στράτευμα ἥκιστα σύμφορον ἔγνω. τῶν δέ τινας Ῥωμαίων ἐκέλευε πρὸ τοῦ στρατοπέδου ἐλθόντας πειρᾶσθαι ὅπως ζωγρείαν τινὰ πολεμίων ἑλόντες ἀγάγοιεν. οἱ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐν χερσὶ πολέμιον ἔχοντες ἐπανῆλθον, ὁ δὲ ἀνεπυνθάνετο τοῦτον ὅποις τε δυνάμεως ἔχοντες ἐπὶ Σίρμιον ἀφίκονται Οὖννοι, καὶ τί ποτε βουλομένοις αὐτοῖς ἐστι (pp. 265_{1-20}; 270_{1-16}).

но само се опитват да получат по всякакъв начин примирие и отлагане на военните действия, ги върна, без да постигнат те нищо, само им даде за спътник някой си ромей, на когото [поръча] да изиска Халуфа[1] и ако те не се покажат склонни, да ги заплаши, че отново императорът и ромейската войска ще ги нападнат. А той отиде в Сердика и събра там войска.[2]

Докато пребиваваше там, се случи следното: Алексий, който тогава изпълняваше длъжността протостратор, както споменах на много места, отдавна замислял да въстане, но тогава бил открит, [затова] се подстригал и отишъл монах в един от планинските манастири, каквито има построени много близо до Струма в планината Папикий[3]. След като прекарал там доста време, починал.

Такъв край отреди там съдбата на Алексий[4]. А императорът, когато унгарската войска преминаваше към Сирмий, изпрати за там военни сили, на които началствуваха както други ромейски пълководци, така и Андроник, племенник на императора, който носеше прозвището Контостефан и който беше получил от императора неограничени военни пълномощия.[5] На него беше съобщено как трябва да се води, да се завърши тази война — беше му начертано като на карта. И така Андроник, след като премина Сава и след като дойде много близо до лагера на унгарците, извърши следното. Реши, че съвсем не е изгодно да праща разузнавачи и съгледвачи по посока на неприятелската войска, а заповяда на няколко ромеи да се приближат до лагера [им] и да се опитат да хванат и доведат някой пленник от неприятелите. Те наистина съгласно със заповедта се завърнаха с пленен неприятел, а той го разпита с каква войска са дошли унгарците срещу Сирмий и какво възнамеряват да вършат.

18. De servitute notitia

οὗτος ὁ αὐτοκράτωρ καὶ ἔθος τι τῶν ἀτοπωτάτων μικροῦ καὶ εἰς νόμον τελέσαι δεῆσαν ἐκ μέσου τῆς Ῥωμαίων ἐποιήσατο πολιτείας. ὁποῖον δὲ τοῦ-

18. За робството[6]

Този император премахна от ромейската държава един ужасен обичай, който насмалко не стана закон. Нека кажем какъв беше той. Неумолимата необходимост на хората

[1] Никифор Халуфа — византийски военачалник, пленен от унгарците в Далмация. [2] Събитията се отнасят към 1167 г. Срв. *Тивчев*, За участието на българи във византийската войска, стр. 90. [3] Пл. *Παπίκιον* — дн. Пеперуда планина. [4] Става дума за споменатия по-горе протостратор Алексий. [5] Събитията се отнасят към юли 1167 г. Срв. *Chalandon*, Jean II Comnène, p. 489. [6] Откъсът описва робството в цялата Византийска империя. Явно описанието се отнася и до българските земи. Вж. *Ив. Сакъзов*, Една новела на Алексия Комнин за роби-българи, Сборник В. Н. Златарски, София, 1925, стр. 367—372; *Д. Ангелов*, Робството в средновековна България, ИПр., II, 1946, кн. 2, стр. 151 и сл.; *П. Тивчев*, Към въпроса за селското население във Византия, ГСУфиф, 1960, стр. 520—523; *В. Браунинг*, Робство в Византийской империи (600—1200), ВВр., т. XIV, 1958, стр. 52—55.

το ἦν ἤδη λέγομεν. ἡ τοῦ ζῆν ἀπαραίτητος τοῖς ἀνθρώποις ἀνάγκη πολλά τε κατὰ τὸν βίον ἐκαινοτόμησεν ἄλλα καὶ δὴ καὶ μισθοῦ τὴν ἐλευθερίαν ἀποδόσθαι πολλοὺς ἀναγκάζει. θητεύουσι τοίνυν τοῖς ἐν ὑπεροχαῖς τε καὶ ἀξιώμασι καὶ τῶν εὖ γεγονότων, ἂν οὕτω τύχῃ, μὴ ὅτι ἀγελαῖοί τινες καὶ ὀχλικοί. ὁποῖον τοίνυν ἡ ἀνθρωπίνη κακὸν πλεονεξία; παραλαμβάνοντες τοὺς ἀθλίους οἱ τὴν σφῶν ἐωνημένοι δουλείαν ὅσα καὶ ἀργυρωνήτοις αὐτοῖς προσεφέροντο, καὶ ἦν τὸ τριώβολον ἴσως καταβαλλόμενον μίσθωμα ἐλευθέρων ἀνθρώπων ὠνὴ καὶ συμβόλαιον οὕτω κακοτυχές. ἀμέλει καὶ εἴ ποτε τῇ ἐκ τῆς θητείας ἀχθόμενοι ἐργασίᾳ ἀπωθεῖσθαι βουληθεῖεν αὐτήν, οἱ δὲ καθάπερ δραπέτας συσχόντες αὐτοὺς καὶ δίκας ἐπετίθουν τῆς τόλμης. καὶ ἦν τότε κατὰ τὸ Αἰσώπου μυθάριον, ἐν ᾧ λέων ἐπὶ τοῦ σπηλαίου νοσεῖ καὶ ζῷα παρ᾽ αὐτὸν εἴσεισιν, ἐλευθέρων μὲν εἰσιόντων ἀνθρώπων ἴχνη καὶ μάλα πολλά, ἐξιόντων γε μὴν ἐπὶ τῇ αὐτῇ ἥκιστα οὐδενός. τὸ μὲν δὴ ἔθος οὕτω δεινὸν ἦν, βασιλεὺς δὲ πρόρριζον ἀπὸ μέσης ἐξεσπακέναι τῆς πολιτείας αὐτὸ βουληθεὶς γράμμασι τὴν ἐλευθερίαν οἷς φύσει τὸ ἐλεύθερον ἐπεψήφιστο. ἐλευθέρων γὰρ ἄρχειν Ῥωμαίων, οὐ μὲν οὖν ἀνδραπόδων αὐτὸς ἤθελεν (pp. 275_{10}—276_{9}).

да живеят е донесла в живота им много други неща и принуждава мнозина да се лишават срещу заплащане от свободата си. Защото робуват на високопоставените и на сановниците не само обикновени и бедни люде, но ако се случи — и някои от благородниците. Колко голямо зло е човешката алчност! Онези, които са ги купили да им служат, след като приемат тези нещастници, се отнасят с тях като към купени с пари роби. Възнаграждението, заплащането за свободни хора, било около 3 обола — позорна цена и сделка! Разбира се, ако някои, измъчени от тежестта на наемната работа, биха пожелали да се отклонят от нея, те биват улавяни като бегълци и биват наказвани за своята дръзка постъпка. Тогава, както в Езоповата басня, в която животните влизат при болния лъв в пещерата, има твърде много следи на хора, които влизат в нея, а никак на такива, които излизат. Този обичай беше [така] ужасен, че императорът пожела да го изтръгне из корен от държавата и подари с грамота свободата на всички, които бяха по рождение свободни. Той искаше да управлява над свободни ромеи, а не над роби

19. Henricus Leo, Saxoniae dux, per Serdicam transit

ὑπὸ τούτους τοὺς χρόνους καὶ Σαξόνων ὁ δούξ, ἔθνους πολυανθρωποτάτου καὶ εὐδαίμονος, σὺν μεγίστῃ παρασκευῇ ἐπὶ Βυζάντιον ἦλθεν ἐφ᾽ ᾧ τὸν ῥῆγα Ἀλαμανῶν διαλλάξειεν (ὑποψίᾳ γὰρ πολλῇ ἐς ἀλλήλους ἐχρῶντο), πάντα τε ὧν ἕνεκα ἦλθε διαπεπραγμένος ἀπηλλάσσετο. ἐν τούτῳ δὲ Σέρβιοι, Οὐεννέτων αὐτοὺς πρὸς τοῦτο παρορμησάντων, εἰς ἀποστασίαν εἶδον, Στεφάνου δὲ ὃς τῆς Οὐννικῆς ἦρχε τὸν βίον ἀπολιπόντος, ταράχου πλέα τὰ τῇδε κατέστησαν. ὑφ᾽ ὧν κινηθεὶς βασιλεὺς ἐπὶ τὴν Σαρδικὴν ἀφικνεῖται. ἔνθα διατριβὴν ποιουμένου, πέμψαντες Οὖννοι Βελᾶν ᾐτοῦντο σφίσι ῥῆγα πεμφθῆναι. ἐπ᾽ αὐτὸν γάρ, Στεφάνου τετελευτηκότος, ὁ τοῦ δικαίου θεσμὸς ἔβλεπεν. ἐτύγχανε δὲ ὁ Βελᾶς εἰς γαμβρὸν τῷ βασιλεῖ ἀφορισθεὶς πρότερον, ὡς ἐν τοῖς ἔμπροσθέν μοι ἐρρήθη. νόμου δὲ ξυγγενείας ἐμποδὼν αὐτῷ γεγονότος, τὴν Αὐγούστης ἔγημεν ἀδελφήν. καῖσαρ δὲ διὰ τοῦτο ἀναρρηθεὶς ἀξιώματι τῶν ἐν Βυζαντίῳ τηνικάδε ἐκρατίστευε μεγιστάνων.

19. Хенрих Лъв, саксонски дук, преминава през София

През това време дукът на саксонците, племе твърде многобройно и богато, дойде с най-голяма свита в Цариград, за да помири с [императора] краля на аламаните (един към друг те се отнасяха с голямо недоверие), и след като извърши всичко, заради което беше дошъл, се завърна.[1] Между това сърбите, подбудени към това от венецианците, се готвеха да въстанат. Но Стефан, който управляваше Унгария, се прости с живота си и настъпи там голям смут.[2] Обезпокоен от тези събития, императорът пристигна в Сердика. Там през време на неговия престой унгарците изпратиха пратеници с молба да им бъде изпратен за крал Бела. Защото към него гледаше, след като Стефан бе умрял, по справедливост законът. А същия този Бела императорът преди това си го беше избрал за зет, както разказах по-горе. Но понеже законът за сродяването му пречеше, той се ожени за сестрата на императрицата. Затова той беше провъзгласен за кесар и тогава по достойнство надмина велможите в Цариград. И така импе-

[1] Хенрих Лъв, саксонски дук, преминал през София на път за Ерусалим през 1172–1173 г. Той се спрял в Цариград с цел да изглади отношенията между Мануил Комнин и Фридрих Барбароса. Срв. Caroli du Fresne Domini du Cange in Joannis Cinnami Historiarum libri VII Notae; Ioannis Cinnami Hist., ed. Bonn., pp. 393—394; *Chalandon,* Jean II Comnène, pp. 596—597 и посочената там литература. [2] Стефан III починал през 1173 г.

ῥῆγα τοίνυν αὐτὸν ἀνειπὼν ἐπὶ Οὐννικῆς σὺν τῇ γυναικὶ ἔπεμψεν ὅρκοις τηρήσειν ἐπαγγειλάμενον ὅσα βασιλεῖ καὶ Ῥωμαίοις συνοίσειν τοῦ παντὸς ἔμελλον αἰῶνος. εἵποντο δὲ αὐτῷ ἐκ βασιλέως οἱ ἐπὶ τὴν ἀρχὴν κατάξοντες Ἰωάννης τε ὁ πρωτοσέβαστος καὶ τῶν ἐπὶ δόξης ἄλλοι. ὁ δὲ βασιλεὺς ἐπειδὴ Βελᾶν ἐπὶ τῆς ἀρχῆς κατεστήσατο, ἐπὶ τὸ Σερβίων ἐτράπετο ἔθνος, ἀμυνεῖσθαι τῆς τόλμης αὐτοὺς προθυμούμενος. ἀλλ᾽ ὅπερ θαυμάζειν ἀεὶ ἔχω, οὔπω τὸ στράτευμα ἤθροιστο πᾶν, καὶ βασιλεὺς χιλιάσιν ὀλίγαις διά τινων ἐρυμνῶν καὶ ἀποκρήμνων χωρίων εἰσελάσας ἐπὶ τὴν χώραν τῷ ἀρχιζουπάνῳ συμμίξειν ἠπείγετο. ὁ δὲ καίτοι μυρίαν πανταχόθεν ἑαυτῷ χεῖρα συστησάμενος σύμμαχον ἔφευγε μὲν τὸ πρῶτον, ὡς δὲ τὸ δέος αὐτοῦ τὴν ψυχὴν ἐπολιόρκει, πρέσβεις ἐς βασιλέα πέμψας κακῶν ἀμνηστίας ἐδεῖτο τυχεῖν. πείθειν δ᾽ οὐκ ἔχων, ἀλλὰ τῆς ες αὐτὸν ᾐτεῖτο παρόδου τέως ἀκινδύνου τυχεῖν. ἧκε τοίνυν βασιλέως ἐπινεύσαντος, καὶ εἰσῄει παρὰ τὸ βῆμα, ἀκαλυφὴς τε κεφαλὴν καὶ χεῖρας εἰς ἀγκῶνα γυμνούμενος, ἀνυπόδετος μὲν πόδας, σχοῖνος δέ οἱ τοῦ τραχήλου ἐξῆπτο, καὶ ξίφος κεχείριστο, ὅπῃ βούλοιτο χρῆσθαι βασιλεῖ ἑαυτὸν παρεχόμενος. ἐφ᾽ οἷς οἰκτείρας αὐτὸν ἀφῆκε τὸ ἔγκλημα. ταῦτα κατωρθωκὼς βασιλεὺς ἔξῄει τῆς Σερβικῆς, ἑπόμενον αὐτῷ καὶ τὸν ἀρχιζουπάνον ἔχων (pp. 286_{13}—288_{3}).

раторът обяви Бела за крал на Унгария и го изпрати със съпругата му в Унгария, след като той обеща с клетва, че ще съблюдава през целия си живот това, което ще бъде от полза за императора и ромеите.[1] Следваха го от страна на императора, за да го поставят на престола, протосеваст Йоан и други славни мъже. А императорът, след като Бела зае властта, се насочи срещу сърбите с желание да ги накаже за тяхната дързост. Но — на което аз винаги се учудвам — преди още да се беше събрала цялата войска, императорът само с няколко хиляди навлезе през стръмни и недостъпни места в тяхната страна и побърза да влезе в сражение с великия жупан.[2] Той пък, макар че беше си осигурил многобройна съюзническа войска, най-напред побягна, а след като страх обхвана душата му, изпрати пратеници при императора и поиска да получи прошка за провиненията си. След като не можа да склони императора, той поиска да получи поне безопасен достъп до него. И тъй, когато императорът се съгласи, той дойде и се приближи до неговия трон без шлем, с голи ръце до лактите и с боси крака. За шията му беше привързано въже, носеше меча си в ръка и се предаваше на императора, за да прави с него, каквото си иска. А той, като се смили от всичко това, му опрости вината. Завършил това благополучно, императорът излезе от Сърбия заедно с последвалия го велик жупан.

20. Manuel Comnenus bellum adversus Turcos parat

ἀλλὰ βασιλεὺς τοὺς λόγους οὐκ ἀποδεξάμενος αὐτὸν μὲν ἀπεπέμψατο, δυνάμεις δὲ ἔκ τε Σερβίων καὶ Οὔννων μετεπέμπετο πολλὰς καὶ τὰ πρὸς τὸν πόλεμον ἐπιμελέστερον ἐξηρτύετο. ὥστε μὴν ἵπποις τε καὶ ἀνθρώποις οὐδαμῇ τὰ ἐς τὸ ζῆν ἐπιλείψοι, καὶ βοῶν ἀμύθητόν τι πλῆθος ἐκ τῶν κατὰ Θρᾴκην ἠλαύνετο χωρίων ἅμαξαί τε ὑπὲρ τὰς τρισχιλίους. ὁ μὲν οὖν ἦρι φανέντι ἐπὶ Ἀσίαν διέβη καὶ τὰς δυνάμεις ἐπὶ Ῥυνδακοῦ κατὰ τὸ ἔθος ἤθροιζεν. Οὖννοι δὲ ξύμμαχοι καὶ Σέρβιοι, οἳ Ῥωμαίοις κατήκοοι τυγχάνουσι ὄντες, οὐκ ἐν δέοντι ἀφικόμενοι θέρους ὥρᾳ στρατεύειν ἐποίησαν, ἐφ᾽ οὗ δὴ μάλιστα τὰ πράγματα ἔφθαρτο. σκοπιμώτατον γὰρ εἴπερ τι ἔργοις πολέμων ὁ χρόνος ἐστίν (p. 229_{12-23}).

20. Мануил Комнин се готви за поход срещу селджуците

Но императорът, без да изслуша думите му, го върна, а нареди да доведат много войски както от Сърбия, така и от Унгария и започна да се готви по-грижливо за война.[3] И за да не му липсва никак храна за конете и за хората, заповядва да докарат безчислено множество волове от Тракия и над 3000 коли. И тъй рано напролет премина в Азия и, както обикновено, събра войските при Риндак[4]. Но съюзниците унгарци и сърби, които бяха подвластни на ромеите, не дойдоха навреме и станаха причина да се води войната през лятото, поради което се навреди твърде много на работите. Защото ако трябва нещо да се спазва най-строго, то е времето за военните действия.

[1] Тъй като Бела III се възцарил с помощта на Мануил Комнин, той обещал да води провизантийска политика. [2] Събитията се отнасят към 1173 г. Срв. *Тивчев*, За участието на българи във византийската войска, стр. 90. [3] Става дума за усилената подготовка на Византия за похода срещу селджукските турци през 1176 г., който завършил с поражението на византийците при Мизнокефалон. Срв. *Chalandon*, Jean II Comnène, pp. 618—623; *Ангелов*, История, II, стр. 189. [4] При р. Риндак в Мала Азия имало постоянен византийски военен лагер, в който обикновено били съсредоточавани византийските войски за поход на Изток.

XV. ГРИГОРИЙ АНТИОХ

Григорий Антиох е византийски ритор от втората половина на XII в. Подробни данни за неговия живот и дейност не са запазени. Отделни моменти от биографията му се разкриват от неговите писма. Знае се, че е заемал висши длъжности при византийския двор — до 1175 г. бил дворцов съдия, а след това велик друнгарий. Своята литературна дейност Григорий Антиох започнал около 1160 г. Последните сведения за него са от 1196 г., когато се споменава като велик друнгарий в един документ от архива на лаврата „Св. Атанасий“.

От Григорий Антиох са стигнали до нас няколко речи и писма. Той бил ученик и близък приятел на магистъра на риторите Евстатий Катафлорон, бъдещия митрополит Евстатий Солунски. Между тях съществувала оживена кореспонденция, от която има запазени четири писма на Григорий Антиох. Около 1174—1175 г. той бил изпратен със специална мисия от император Мануил I Комнин (1143—1180) в Сердика, където прекарал доста дълго време, а след това се преместил заедно с византийската войска на северозапад към Сърбия и Унгария. От Сердика и от новото си местопребиваване Григорий изпратил няколко писма до Евстатий Солунски. В тях той дава ценни сведения за бита и положението на българското население през последните десетилетия на византийското владичество. Излезли изпод перото на един непосредствен наблюдател, тези сведения допълват известията на други византийски извори от това време.

В неиздадено слово на Григорий Антиох се съдържа едно упоминание за въстанието на Асен и Петър и последвалите нападения на българите върху Византийската империя.

Въпреки че произведенията на Григорий Антиох са изпълнени с риторика и не са лишени от някои субективни преценки, данните в тях са достоверни и при критично използуване могат да бъдат ценно градиво за българската история.

РЪКОПИСИ: E = Cod. Escorialensis gr. Y II 10 (XIV s.). — M = Cod. Marcianus, XI, 22 (a. 1235).

ИЗДАНИЯ: *M. Bachmann — F. Dölger*, Die Rede des *μέγας δρουγγάριος* Gregorios Antiochos auf den Sebastokrator Konstantinos Angelos, BZ, 40 (1940), 353—405. — *J. Darrouzès*, Deux lettres de Grégoire Antiochos, écrites en Bulgarie vers 1173, Byzantinoslavica, XXIII/2, 1962, pp. 276—278; XXIV/1, 1963, pp. 65—86. — *А. П. Каждан*, Григорий Антиох, ВВр., XXVI, 1965, стр. 94—99.

КНИЖНИНА: *Krumbacher*, GBL, p. 472. — *Moravcsik*, Byzantinoturcica, I, p. 292. — *J. Darrouzès*, Notice sur Grégoire Antiochos (1160 à 1196). REB, XX, 1962, pp. 61—92. — *Г. Цанкова—П. Тивчев*, Нови данни за историята на Софийската област през последните десетилетия на византийското владичество, ИИИ, т. 14—15, 1964, стр. 315—325. — *А. П. Каждан* — Вопросы истории, № 3, 1964, стр. 214—215. — *Каждан*, Григорий Антиох, Жизнь и творчество одного чиновника, ВВр., XXVI, 1965, стр. 77—99. — *P. Wirth*, Untersuchungen zur Byzantinischen Rhetorik des XII Jahrhunderts, München, 1960, pp. 10—12, 22 sq. — *Wirth*: BZ, 56, 1963, pp. 105—108, 339 sq. Дадените тук откъси са взети от изданието на Дарузе (отк. 1 и 2) и на Каждан (отк. 3).

GREGORII ANTIOCHI OPUSCULA

1. Τῷ γεγονότι μαΐστωρι τῶν ῥητόρων κυρῷ Εὐσταθίῳ τῷ Θεσσαλονίκης ἀπὸ Τριαδίτζης σταλεῖσα

Πρώτην σοι ταύτην, θεσπέσιε δέσποτα, καὶ ἐπιστολὴν διαχαράττω καὶ τραγῳδίαν ὧν ἀνέτλην ἐν Σαρδικῇ κακῶν ἀναβάλλομαι. „Ἥ τε γὰρ παροικία μου ἐμακρύνθη“ κατὰ τὸν εἰπόντα προφήτην καὶ εἰς τόδε καιροῦ φίλης πατρίδος ἄθλιος ἀποξένωμαι καὶ γλυκυτάτου πατρὸς καὶ ὑπὲρ πολλοὺς τῶν φυσάντων, ὅσα ἐμὲ εἰδέναι, φιλόπαιδος καὶ τῶν ἄλλων μοι προσηκόντων καὶ ὁμηλικίης ἐρατεινῆς, εἰπεῖν δέ, καὶ βιβλίων καὶ λόγων καὶ ἀναγνώσεως ὧν αὐτός με καθηγησάμενος ἔχεις, ἱερὰ κεφαλή.

Καὶ οὐ ταῦτα μόνον ἀνιαρά, ἀλλ᾽ ἤδη καὶ τὸ τῆς κάκιστ᾽ ἀπολουμένης Βουλγαρίας ἀπαραμύθητον, καὶ μάλιστα τὸ περὶ αὐτὴν τῆς ὥρας ἀνώμαλον, ὡς ἐοικέναι τοῦτο μόνον τῆς οἰκουμένης μέρος μὴ οἰκεῖσθαι θέρει καὶ μετοπώρῳ καὶ ἔαρι, μόνῳ μὲν οὖν χειμῶνι τῇ πικροτέρᾳ ὡρῶν καὶ ἀλγεινοτέρᾳ. Ἔν τε γὰρ ἀκμαίῳ τῷ παρ᾽ ἡμῖν θέρει κρυμὸς ἐνταῦθα καὶ πάχνη καὶ πηγυλίς, καὶ χειμῶνος τὸ ψῦχος ἄντικρυς Τάρταρος. Ὁ δ᾽ ὑπὲρ κεφαλῆς ἀὴρ ἀεὶ συννεφὴς καὶ τὸ περιέχον τὰ πρόσωπα σκυθρωπόν, οὐδ᾽ ἥσθεταί τε γελάσαντος αἰθρίου, ἀλλὰ πενθεῖ τοῖς ὄμβροις καὶ ὁπόσα καὶ δάκρυα καταστάλαζει τὸν ὑετόν, ἐμοὶ δοκεῖ, τῆς λυπρότητος καὶ τῆς περὶ τὸ καρποφορεῖν ἀφυΐας τὴν ὑποκειμένην ἀποκλαιόμενον γῆν. Αἱ δὲ νεφέλαι, πολλάκις τῆς ἡμέρας εἰς τ κετοὺς ὑδάτων ῥηγνύμεναι, πάλιν ἐγκυμονοῦσι, πάλιν ὠδίνουσι καὶ ὅπερ ταῖς ἄλλαις ἠπείροις τὰ διφοροῦντα ἑκάστου ἔτους φυτὰ καὶ τῶν βοσκημάτων τὰ διδυμεύοντα, καὶ ὄγχνη μὲν ἐπ᾽ ὄγχνῃ, σῦκον δὲ ἐπὶ σύκῳ καὶ ἀρνὸς γαλαθηνὸς ἐπ᾽ ἀρνῷ, τοῦτο τῇ Βουλγάρων ἑκάστης ἡμέρας μυριοτόκος νεφέλη καὶ ὄμβρος ἐπ᾽ ὄμβρῳ καὶ ἐπὶ νιφάδι νιφάς· κἂν εἰ λάθῃ ποτὲ φανεῖσα ῥοδοδάκτυλος ἠώς, αὐτίκα μάλα, τοῖς ὁρῶσιν ὥσπερ φθονοῦσα τῆς θέας κατὰ τοὺς ἀλαζόνας καὶ κατωφρυωμένους καὶ ἀνέραστους μείρωτας μείρακας, ἐπεσύρατο νέφη χιτώνιον τοῖς δακτύλοις καὶ μέλασι φαρέεσι χρόα καλὸν ἐκαλύψατο.

Οἵ γε μὴν τὴν χώραν νεμόμενοι, ἀλλ᾽ ἴδοις ἂν τούτους ἀεὶ σισυροφοροῦντας καὶ ἀρνακίσιν ἐσταλμένους καὶ πίλοις τὰς κεφαλὰς καλυπτομένους ναστοῖς καὶ, ὅ φησιν ὁ Ἀπόστολος, „ἐν μηλωταῖς περιϊόντας ἐν αἰγείοις δέρμασιν“ — αἰχμαλωτιστέον γάρ μοι, κατ᾽ αὐτὸν ἐκεῖνον ἐρεῖν, εἰς τοὺς Βουλγάρους τὸ νόημα· Τοιγὰρ καὶ ὅτι ἐν δυσχειμέρῳ

ПИСМА НА ГРИГОРИЙ АНТИОХ

1. Писмо до бившия магистър на риторите Евстатий Солунски, изпратено от София

Уважаеми господине, изпращам ти това писмо, за да ти опиша злините, които претърпях в Сердика.[1] Защото поселението ми се отдалечи според казаното от пророка и в настоящото време аз, нещастният, съм далеч от милото си отечество, от любимия си баща, който, доколкото зная, обича сина си повече от другите родители, далеч съм и от останалите си близки, от приятни разговори, така да се каже, от книги, беседи, четене, на които неща ти, свята глава, си ме научил.

Обаче не само това е тягостно. Най-неутешителното в тази прокълната България най-вече е несъразмерността в годишните времена. Изглежда, че само тази част на вселената не е устроена с лято, есен и пролет, но само със зима — най-тежкото и най-мъчителното годишно време. Защото в разгара на лятото у нас, там има мраз и скреж и лед и зимният студ е като в ада. А въздухът над главите и около лицата ни е мъглив и влажен и не познава усмивката на ведро небе, но жали с проливни дъждове и като сълзи текат дъждовните капки, както ми изглежда, оплаквайки земята под тях заради нейната бедност и липсата на плодородие. Често през деня облаците се разразяват в поройни води и пак се сгъстяват, и пак се мъчи да вали. И докато в други страни всяка година растенията дават двоен плод и добитъкът близни и има круша върху круша, смокиня върху смокиня и млечно агне след агне, в страната на българите има непрекъснато дъждовни облаци и дъжд след дъжд, и сняг върху сняг. И ако понякога скритом се появи розовопръстата зора, веднага подобно на горделив, навъсен и безчувствен юноша навлича с пръстите си було от облаци и покрива с тъмен плащ хубавото си тяло.

А жителите на страната могат да се видят винаги облечени в ямурлуци и агнешки кожи.[2] Главите им са покрити с дебело кече и, както казва апостолът, „те са в овчи и кози кожи“ и за да се изразя като него, мисълта ми трябва да бъде насочена към българите. И тъй Сердика е разположена в

[1] Писмото се датира между 1173 и 1175 г. Това се оспорва от Каждан, който смята, че засега дадените тук две писма от Григорий Антиох не могат да се датират точно, тъй като този въпрос се нуждае от специално изследване. За неговите съображения вж. статията му „Григорий Антиох“, стр. 96—98. През средновековието София се е наричала освен Сердика (Сардика) още Срѣдець и Трıадица. [2] За облеклото на българите, направено от овчи кожи, съобщава в едно от писмата си Теофилакт Охридски. Срв. *Митрополит Симеон,* Писмата на Теофилакт Охридски, архиепископ български. СбБАН, кн. XXVII, София, 1931, стр. 188.

τόπου λάχοι θέσιν ἡ Σαρδική, οὔτε κηπεῦσαι φυτηκόμοις ἐστὶν ἀγαθὴ καὶ ὑπὸ πρασιαῖς λαχανηφορῆσαι καὶ δένδρων ὀπώραν ἐξενεγκεῖν, οὔτε ἀμπελοκόμοις κλῆμα δέξασθαι καὶ βλαστῆσαι καὶ ὑπὸ πυκνοῖς ὀρχατοῖς πολὺν τὸν βότρυν ἐκθρέψασθαι. Ἐμοὶ δὲ καὶ ἄλλως δοκεῖ μήτε τοὺς τῆς Δήμητρος πόδας ἐπιβῆναι τοῦ τόπου, ὅταν ἐκείνη περιπλανῷτο πᾶσαν τὴν γῆν, ζητοῦσα τὴν κόρην, καὶ διανέμοι τὰ ἑαυτῆς τὰ καλὰ τοῖς ἑκάστοτε συμμίσγουσι τῶν ἐθνῶν, μήτε τὸν Διόνυσον ἐπισεῖσαι ταύτῃ τὸν θύρσον, ἕλικας ἀμπέλων αὐτοῖς βότρυσιν ἀναδούμενον καὶ μετὰ Πανὸς καὶ Σατύρων τῷ τόπῳ βακχικὸν καὶ μανικὸν ἐπορχούμενον· καὶ διὰ ταῦτα μήτε ὀπωροφόρα δένδρα τὴν χώραν ἴσχειν μήτε ἀμπέλους ὅσαι τε περὶ γῆν ἕρπουσι καὶ ὅσαι ἀναδενδράδες εἰσί, στερεαῖς ὑπανεχόμεναι κάμαξιν. Εἰ δ' αὐτοῦ που καὶ ὀπώραις ἐντύχῃς, ἃς ἐκ τῶν πέλας ἠπείρων ὁπόσα καὶ αἰχμαλώτους εἰς τὴν χώραν ἀπάγουσιν οἱ ὀπωριζόμενοι, ἀπεσκληκότας καὶ νενοσηκότας καὶ πολὺν τὸν ὦχρον τῆς ἐπιφανείας προφαίνοντας· τὰ μῆλα δὲ ῥυτίδων ὅλα καὶ ὡς παρὰ δεσμωτηρίοις γεγηρακότα ταῖς πήραις καὶ τοῖς φορμοῖς, βραχὺ μὲν ἢ οὐδὲν τοῦ τῶν νεοδρέπτων ἐρεύθους τοῖς προσώποις ἐπιδεικνύμενα, τὸ γῆρας δὲ βαθὺ καὶ πρεσβύτατον· τοὺς ἀπίους, ἀτεχνῶς παγκρατιστὰς τῇ πρὸς ἀλλήλους συγκρούσει πὺξ ἐοικότας διαγωνίσασθαι, κἀντεῦθεν στιγματίας τὴν μορφὴν δεικνυμένους καὶ πολὺν τοῦ χρωτὸς προβεβλημένους τὸν μώλωπα· τὰ σῦκα ἔγγυς ἰσχάδας καὶ ὡς πρὸς τὴν ἀνυσθεῖσαν μακρὰν ὁδοιπορίαν ἰλλιγιάσαντα, τὸ πλεῖστον ἐκβεβηκότα τοῦ μέλιτος· τοὺς βότρυας, τὰς ῥάγας ἰσχνοὺς καὶ ἄτερ ληνοῦ καὶ ποδῶν τεθλιμένους καὶ ὅτι πόρρωθεν ἀφίκοιντο καὶ αὐτοί, ἐκ ταλαιπωρίας περιστάντας εἰς ὀστοῦν καὶ δοράν.

Οὕτω κατέφαγε τὰ ὡραῖα τῆς Σαρδικῆς οὐ πῦρ φλογίζον, ὡς λόγος, ἀλλὰ τὸ ἀντίθετον ψῦχος καὶ τοῦ κρυμοῦ τὸ πολύ. Ἀλλ' οὐδ' ἂν σε τὴν ὁδὸν παριόντα καταθέλξειεν ἀηδὼν κελαδοῦσα καὶ χελιδὼν τιττυβίζουσα καὶ οἱ μουσικοὶ τῶν ὀρνίθων καὶ ὅσα τῶν πτηνῶν φιλῳδὰ καὶ μουσικὸν φορούντων ἐπὶ τοῦ στήθους τὸ βάρβιτον, οὔ τι νεκραῖς ἐντεταμένον νευραῖς, ἀλλ' ἐμψύχοις καὶ αὐτοπλήκτοις καὶ οἴκοθεν ἐχούσαις τὴν κίνησιν. Εἰκότως· τί γὰρ ἂν καὶ περιλαλήσαιεν ἄλσος Τίσιν ἐπικαταπταῖεν λειμῶσιν ἀνέντες ὅλον πτερόν; Τίσιν ἐπικαθεδοῦνται τοῖς δένδροις; Ποίοις ἐπαναπαύσονται πτόρθοις; Τίνα πέτηλα τούτοις ὄμβρον ἀπείρξει καὶ καύσωνα; Ἄδενδρος

място с неблагоприятен климат, което не е добро нито за плодоиосни зеленчукови, нито за плодородни овощни градини, нито да се отглеждат лози и от гъстите редове на лозите да пораснат големи гроздове. На мене изобщо ми се струва, че нито кракът на Деметра[1] е стъпил на това място, когато тя е обикаляла цялата земя, търсейки дъщеря си, и е разпределяла благата си на смесените навред племена, нито пък Дионис е размахвал там своя жезъл, обвит с лозови пръчки заедно с гроздовете, когато е играл на това място лудешкия си вакхически танц, придружен от Пан и сатири. И затова земята няма нито плодоносни дървета, нито лози, които пълзят по земята, или такива, които са високи като дървета и са подпрени със здрави подпори. И ако някъде намериш плодове, тези, които ги носят, ги докарват като пленници в тази страна от близки области и те са набръчкани, свити и безцветни на вид. Ябълките са целите набръчкани и като остарели в тъмница в торбите и кошниците и показват на лицето си не червенина на новооткъснати плодове, а дълбока и пълна старост. А крушите изглеждат напълно като борци, които са се борили помежду си с юмруци и от това са им се появили белези и много грапавини по кожата. Смокините, подобни на сушено грозде, стегнати като че ли за да предприемат далечен път, са изгубили по-голямата част от сладостта си. А гроздовете с изсушени зърна и сякаш стъпкани с крака в лин, като че ли пристигат отдалеч, останали от мъка само кожа и кости.

Така, както се казва, плодовете на Сердика ги изяде не пламнал огън, но равностоен студ и силен мраз. И тъй, когато минаваш по пътя си, песен на славей или чуруликане на ластовица не ще погали слуха ти, нито пък музикални птици и обичащи песента птички, които носят в гърдите си лира, направена не от мъртви струни, но от одушевени, самодвижещи се струни, които сами от себе си свирят. И нищо чудно. Коя гора те ще огласяват? На кои ливади ще кацнат, след като престанат да летят? На кои дървета ще кацнат? На кое клонче ще си починат? Кои листа ще ги подслонят от дъжд и жега? Защото страната е без дървета, без градини,[2] едва ли не поле на уни-

[1] Деметра — богиня на плодородието. Според гръцката митология тя обикаляла цялата земя, за да търси дъщеря си Персефона, отвлечена от Хадес (Плутон). [2] Авторът на писмото, попаднал в чужда за него страна и живял дотогава при по-благоприятни условия, се увлича на места в субективни преценки, които се опровергават от други автори. Така например Идриси съобщава, че София била разположена „в низина, с многобройни квартали и многобройни сгради, с непрекъснато следващи обработени полета и овощни дървета". Вж. *Б. Недков*, България и съседните ѝ земи през XII в. според „Географията" на Идриси, София, 1960, стр. 41; срв. *Д. Ангелов*, По въпроса за стопанския облик на българските земи през XI—XIV в., ИПр., VII, 1951, кн. 4—5, стр. 429.

γὰρ ἡ χώρα καὶ ἄκηπος καὶ πεδίον μονονουχί, κατὰ τὸν προφήτην, ἀφανισμοῦ. Κἂν τῷ ποτε συνείροντι λόγον ἀνεῖναί σε δέοι τὸ οὖς, ἔνθεν μὲν βληχὴ προβάτων παρενοχλεῖ, ἐκεῖθεν δὲ μηκασμὸς αἰγῶν καὶ βοῶν ἑτέρωθεν μύκημα καὶ ἄλλοθεν δελφάκων ἐκ συφεοῦ γρυλλισμός.

Τό γε μὴν μοχθηρὸν τῆς διαίτης κομιδῇ σχετλιώτερον. Ὅ τε γὰρ ἄρτος πιτυρίας ἢ κεγχρίας καὶ οὗτος ἡμιόπτος, οὐκ ἀποχρώντως ὁμιλήσας πυρὶ καὶ κατὰ τὸν τῆς Σουναμίτιδος ἐγκρυφίαν αἰθαλόεις καὶ ἀναπεπλησμένος σποδοῦ· καὶ οἶνος ὀξίνης καὶ ἐκτροπίας καὶ τῷ στομάχῳ πολέμιος, δόρυ κατ᾽ αὐτοῦ προβεβλημένος, εἶπεν ἄν τις, ὀξύ· καὶ τὰ ὥρα ταρίχη σηπεδόνος μεστὰ καὶ πολὺν τὸν εὐρῶτα σφίσιν ἐμβόσκοντα. Εἰσί δὲ καὶ λιμνῶν καὶ ποταμῶν νεαλῆ βορβόρου πλήρη καὶ ταῦτα καὶ ἰλυώδη καὶ χάζειν ποιοῦντα τὸν προσφερόμενον. Πῶς γὰρ ἂν ⟨τὰ⟩ λιμναῖα τῶν ὑδάτων χρηστόν τι γεννώη καὶ ἄμεινον βατράχων τε καὶ βδελλῶν ὁποῖα τούτοις ἐντίκτονται; Καὶ — ὃ δὴ χείριστον, ὅτι φαυλότατον — ἰχθύων πλείονος ἐκτιμᾶται ἡ βοῦς, τὸ τῶν τετραπόδων ἁδρότατον· τοῦτο μόνον εὔωνον κομίζειν οἶδεν ὁ τόποις ὅλους μὲν γαυλοὺς καὶ κισσύβια πλήρη γάλακτος ἀποδεδομένα δραχμῶν, ὅλους τε ταρσοὺς τυροῦ πλήθοντας ἀρτιπαγοῦς καὶ σαλεύοντος ἀσσαρίων τιμωμένους καὶ λεπτῶν κερμάτων καὶ ὀβολῶν, κιναβρῶντας καὶ τούτους καὶ πολλῷ τῷ γράσῳ λυποῦντας τοῦ προσφερομένου τὴν αἴσθησιν.

Ἐῶ λέγειν τὰς πνιγηρὰς καὶ χορτορόφους καλύβας καὶ τὰ ἐκ βουτόμου καὶ παπύρων καὶ τοῦ λοιποῦ φορυτοῦ ἐσμικρολογημένα τὰς διαστάσεις κελλύδρια φειδωλῶν οἶμαι τινων καὶ μικροπρεπῶν οἰκοδόμων ἔργα, πάντη ἀγνοησάντων τὸ μέτριον, ἢ πάρεργα μᾶλλον καὶ παιδιᾶς ἀλλ᾽ οὐχὶ σπουδάσματα. Τὰ μὲν ἐπεσχατιασμένα τῆς γῆς.... (pp. 278—280).

2. Τῷ Θεσσαλονίκης κυρῷ Εὐσταθίῳ τῷ τοῦ Καταφλῶρον

Ἀεὶ τὰ πέρυσι βελτίω· ταύτην τὴν παροιμίαν, ἀγχίθεε δέσποτα, οὐ μᾶλλον ἐπὶ τοῖς ἄλλοις ἢ τοῖς ἤδη τε ἡμῖν συμπεσοῦσι καὶ ὁσημέραι συμπίπτουσιν ἀποπερατουμένην ἔχω εὑρών. Ἐξ οὗ γὰρ ὑμεῖς οἱ Ἑρμοῦ θιασῶται, οἱ τάχα περὶ τὸν λόγιον ἔχοντες, οἱ σκίμποδος ἄξιοι καὶ γωνιᾶς, ἐκστρατεύειν εἱλόμεθα καὶ περὶ τὴν ἀλλοδαπὴν καὶ ὑπερορίαν περινοστεῖν καὶ τὴν κοιλάδα τῶν ἐν στρατοπέδῳ

щожението, както казва пророкът. И ако понякога слухът ти трябва да почине от отегчителен разговор, тук ще ти додява блеене на овце, там — врещене на кози, на трета страна — мучене на волове, а другаде — грухтенето на свиня в кочина.

А мъката на ежедневния живот е напълно достойна за оплакване. Защото хлябът се прави от трици или от просо, и то полуопечен, тъй като малко е стоял в огъня. Той е покрит със сажди и пълен с прах,[1] като хляба, печен в пепелта на Синамит. Виното е кисело и отвратително, неприятел на стомаха, което изпраща, би казал някой, остро копие срещу него. Осолените риби са вмирисани и вътре имат кал. Пресносолните пък риби от езерата и реките са изпълнени с тиня и мирищат на блато и карат да се отдръпва този, който ги приближи. Защото как в блатни и в тям подобни води би се родило нещо благородно и по-добро от жаби и пиявици? А това, което е най-лошо и най-глупаво, то е, че кравата, най-голямото от четириногите, се цени повече от рибата. В това място може да се доставят[2] на ниска цена цели ведра и котли, пълни с мляко, продавани за драхми, цели кошници, пълни с прясно и невтвърдено сирене, струващо грошове или дребни монети и оболи, което също мирише на пръч и с лошия си дъх измъчва обонянието на приближаващия.

Да не говоря за задушните и покрити със слама колиби, за малките хижи от тръстика, папур и всякакви други храсти, с малки размери, дело на пестеливи и неуки майстори, които изобщо не познават съразмерността, и по-скоро са нещо несериозно и едва ли не детинска работа. А отдалечените части на страната .....[3]

2. До господин Евстатий Солунски, син на Катафлорон

„Винаги това, което е минало, е по-добро." Тази поговорка, боголюбими господарю, намирам, че се отнася не толкова за другите, колкото за това, което ние преживяхме и всеки ден преживяваме. Защото засега ние, почитателите на Хермес[4], които очевидно държим за красноречието и ни подобава легло и тих кът, се заехме да воюваме, да

---

[1] За това, че хлябът, който употребявали българите, бил долнокачествен, се споменава и у Никифор Грегора (Nicephori Gregorae Historia, ed. Bonn., I, pp. 378—379). Срв. *Цанкова — Тивчев*, Нови данни, стр. 322. [2] Тези данни са указание за наличието на търговски обмен в София през XII в. Срв. *Стр. Лишев*, Третият кръстоносен поход и българите, ИИБИ, VII, 1957, стр. 210—212. [3] Краят на писмото не е запазен. [4] Хермес бил бог на търговията, също така и на ловкостта, изкуството, остроумието. Авторът се смята за почитател на Хермес, понеже самият се занимавал с литература и реторика.

σκηνῶν ⟨. . . . .⟩ διαμετρεῖν, Μούσαις μὲν Πιερίαι συγχορεύειν ἀποστερήσαντες, Ἄρει δὲ συγκινεῖν ⟨. . . . τὴν ἐνόπλιον ὄρχησιν ἀγαπήσαντες καὶ τὴν θρυλλουμένην πυρρίχην μεταμαθόντες ἀπὸ τῆς περιφανοῦς ῥητορικῆς ἧς τῇ φλογὶ συγκαθαιρεῖν ἡμᾶς οἱ φίλοι ἕνας οὐκ οἶδ᾿ ὅπως ἠξίωσαν. ἐς δὴ τοσοῦτον οὔποτε τῆς ἐπὶ τὰ χείρω λήξαντες οἴδαμεν προκοπῆς, ἀλλ᾿ ἀεὶ τοῖς τῆς ἐκστρατείας κακοῖς προσαπαντώμενοι, καὶ τὰ φθάσαντα τοῖς παρεστῶσιν εἰς λήθην μακρὰν ἀποκρύπτεται καὶ γοῦν χρόνον πεπειραμένοι μικροῖς περιβαλλόντων κακοῖς, τὰ πρότερα καὶ μὴ χείρω τῶν ἑπομένων πάντως ἐγκρίνομεν τοῖς βελτίοσι, καὶ ἀπὸ τῶν ἐκβεβηκότων καὶ εἰς πεῖραν ἤδη πεσόντων οὐκ ἀγαθὰ καὶ τὰ ἐν ἐλπίσιν ἀποφαινόμεθα.

обикаляме чужда и далечна земя[1] и да споделяме теснотата на военните шатри ⟨. . . . .⟩, отказвайки се от изкуството на пиерийските музи[2] и тръгвайки заедно с Арес ⟨. . . .[3]⟩, след като предпочетохме изкуството на войната и се проникнахме от сегашния военен дух вместо от огнената риторика, чийто пламък нашите приятели ни смятаха, не зная защо, достойни да поддържаме. Никога досега не сме изпадали в толкова лоша участ, като сме изложени постоянно на злините на войната, и по-ранните злини са покрити със забрава пред настоящите. И прочее, след като сме преживели времена, които са ни подлагали на по-тежки злини, ние преценяваме като по-добро по-ранното, което не е по-лошо от следващото: от онова, което преминахме и което изпитахме, не ни се вижда добро и онова, на което се надяваме.

Πρώην γὰρ καὶ οὐ πάνυ τι πρώην περὶ τὴν Σαρδικὴν ποιούμενοι τὰς διατριβάς, γῆν ἐκείνην Βουλγάρων αὔχημα, χώραν ἐκείνην ἡμῖν τό γε νῦν εὐκταῖον κατάλυμα, κἂν εἰ σμικρὰ ἐν ἀποτροπαίοις ἠρίθμητο, μακρὰν ἴσμεν ταύτης τὸν ἥλιον, ὡς οὐκ ἔδει, καταχεάμενοι ἐν οἷς τηνικαῦτά σοι ἐπεστέλλομεν ἦμεν περὶ τῶν καθ᾿ ἡμᾶς καὶ ὥσπερ μηδαμῶς ἡμᾶς χρηστόν τι ἐργασαμένης, μήτε τι τῶν ὅσα φέρουσιν ὧραι φιλοφρονησαμένης, μηδὲ τοῖς ἐκδήμοις ἡμῖν φανείσαν ἀγαθὴν ξεναγόν, ἀλλὰ τοὐναντίον καὶ τὰ πάντων διαθεμένην οἰκτρότατα, ἀφανισμοῦ πεδίον ἀπεκαλοῦμεν, προφητικὴν ταύτην πρόσρησιν ἐπάρατον καὶ εἴ τι ἄλλο τῶν ὀνομάτων χερσομανίαν ἠπείρου κατηγορεῖ, καὶ ὁ περὶ καρποτοκίαν κομιδῇ ἀφυὲς αὐτῇ συνεφοροῦμεν ἐπὶ χλεύῃ τε καὶ μυκτηρισμῷ.

Защото по-рано, и то немного отдавна, когато пребивавахме в Сердика, земя, която е гордост за българите и която сега за нас е желано убежище, тогава я смятахме за отвратителна.[1] Сега добре знаем, че сме били несправедливи към нея и че се отнасяхме пренебрежително, както не би трябвало, в писмото, което тогава ти изпратихме за нашите работи. Като ни изглеждаше, че не ни е сторила нищо добро и че не ни е дарила с нищо от това, което предлагат годишните времена, и че не се е показала гостоприемна към нас, чужденците, но, напротив, е проявила най-голяма неприязън, ние я нарекохме „поле на унищожението". Нарекохме я с такова пророческо проклятие и с всякакво друго име, което определя една земя като дива, и прибавяхме към нашите насмешки и подигравки обвинение в пълно неплодородие.

Τὸν ἐκεῖθεν γὰρ ἐδυσχεραίνομεν ἄρτον, ὅτι μὴ εὖ πεφυραμένος καὶ ὠπτημένος μηδὲ ἠλιβάτης καὶ κάπυρος, ὡς λόγος, γελῶν, γεγηθώς τε ὥσπερ καὶ τοῖς προσώποις ἐπιφαίνων τὸ χαῖρον, ὅτι μόνος κόσμος ἐστὶ τραπέζης ὑπὲρ τὰ λοιπὰ τῶν τρωκτῶν, πιτυρίας μὲν οὖν καὶ ἀδρὸς καὶ πολλῷ τῷ τοῦ μέλανος στυγνῷ σκυθρωπάζων καὶ προσήκων οὐχ ὡς ἑορτίοις τραπέζαις ἢ θαλίαις οἷς τὰ πάντα λαμπρὰ καὶ τῷ τοῦ πράγματος ἀγαλλιῶντι συγγέγηθεν, ἀλλ᾿ ἐπιταφίων ἄξιος δείπνων καὶ τῶν ἐπὶ

Прочее ние се оплаквахме от тамошния хляб, че не беше добре умесен и опечен и че не се смееше ведро и звънко, както е думата, весел и като че ли със своя вид издаваш радостта си, така че сам е украса на трапезата измежду другите храни.[5] Той е пълен с трици и е като начумерен под покрова на саждите, подхожда не за тържествени или сватбени трапези, на които всичко блести и сияе с празничен блясък, но поприлича за погребални трапези или надгробни

[1] В коя страна точно се е преместил Григорий Антиох, не е установено. Може да се предполага, че той заедно с византийските войски е отишъл на северозапад от София, в Сърбия или Унгария. *Каждан*, Григорий Антиох, стр. 97, смята, че това писмо е писано от безводните динарски планински места. [2] Пиерия е област в Северна Гърция, в подножието на пл. Олимп. Там според преданието били родени и почитани музите и затова се наричали пиерийски музи. [3] Текстът е повреден. [4] Авторът тук коригира своята пораншна отрицателна преценка за България. За значението на София като един от важните български градове през тази епоха срв. *Йорд. Иванов*, Средновековна София, Юбилейна книга на гр. София, София, 1928. [5] Общо за хляба в българските земи по това време срв. *В. Н. Златарски*, Големината на българския хляб. Известия на Народния етнографски музей I, 1—2, 1922, стр. 12—13.

νεκροῖς συσσιτίων οἷς τὰς πάντα πενθικὰ καὶ στυγνὰ καὶ τῷ τοῦ πράγματος κατηφιῶντι συνεσκυθρώπακε. Καὶ δὴ καὶ περὶ τὸν οἶνον ἦμεν οἱ χάζοντες, ὅτι τοι μὴ ἀνθοσμίας μηδὲ τὴν ὄψιν ἢ τὴν γεῦσιν διαυγὴς καὶ ἡδύς, ἐκτροπίας μὲν οὖν καὶ τὴν θέαν γλευκίας καὶ θολερός, ὥσπερ ἄρτι τοῦ προληνίου προκύψας. καὶ ἀηδὴς τὴν ὀσφρὰν καὶ δριμύσσων τὸ αἰσθητήριον.

Οὐ μόνον δέ, ἀλλὰ καὶ τὰς ὀπώρας πρόφασιν μειρακυλλίων δίκην ἐναπεσπαίρομεν τοῖς κλαυθμοῖς, ὅτι μήτε σικυὸς ἡμῖν νεόδρεπτος εἰς χεῖρας ἀφῖκτο ἀκάνθαις μαλθακαῖς τισι φρίσσων καὶ ταύταις πολλὰς ὑποβάλλων περὶ ἑαυτοῦ τὰς ἐννοίας ὡς, ἢ βασκαίνων τοῖς θεωμένοις τῆς αὐτοῦ ἐδωδῆς καὶ αὐτόθεν ἴσχων ὀξυβελῆ τὰ δόρατα τούτοις καὶ τοὺς ψαύοντας ἀπείργων δακτύλους μὴ καὶ πληγέντες ἀπέλθοιεν, ἢ τοὐναντίον καὶ ζητῶν τὸν ἁψόμενον καὶ οἱ τοῖς φυσικοῖς κεντρίοις ὑποκνίζων τὴν ὄρεξιν κατὰ νόμους ἐρωτικούς· ἢ — ᾧ καὶ μάλιστα τίθεμαι τυραννίδικατὰ τῶν ἄλλων ἐπιτιθέμενος ὀπωρῶν καὶ αὐτόθεν πολὺ τὸ δορυφορικὸν ἐπαγόμενος, γνήσιον αὐτῷ καὶ ὂν ⟨......⟩. Οὐδὲ μέντοι μῆλον οὐδ᾽ ὁποτέρας φύτλης ὀφθαλμοῖς παρειλήφειμεν, ὅσον τε συνῇ ⟨..... ἐκ⟩ προσθήκης ἀπὸ τῆς ἐνεγκούσης χώρας κικλήσκεται καὶ ὅσον τοῦ κατ᾽ αὐτὸ τὸ μῆλον καὶ ἔστι τὴν προσηγορίαν ἀσύναπτον, οὔτε δὲ σῦκον ἢ ῥόαν, ἀρτιδρεπῆ καὶ ταῦτα καὶ νεαρά· καὶ τοῦτο μὲν αὐτοβαφεῖ πυρσαινόμενον μίλτῳ, τὸ μῆλον, καὶ στίλβον, ἐπαγωγὸν ὀφθαλμοῖς καί φυσικῷ τῷ κάλλει τέρπον καὶ ἀκομψεύτῳ καὶ σώφρονι καὶ μὴ κατὰ τὰς μάχλας τῶν ἑταιρουσῶν ἐντριβόμενον — — —

Τί χρὴ τοῖς τηνικαῦτα ἐπεσταλμένοις ἐπεξιέναι, δέον τῷ ἐπιστολίῳ περιτυχόντα γνῶναι σαφῶς ὁπόσα τηνικάδε τῆς Σαρδικῆς κατηδολεσχήσαμεν, λῆροι τῆς ματαίας ἐκείνης λέσχης καὶ φλήναφοι ἢ μᾶλλον ἄπληστοι καὶ ἀχάριστοι, μήτε τοῖς αὐταρκῶς ἐκεῖθεν κεχορηγημένοις ἡμῖν ἀγαπῶντες, ἀλλ᾽ εἰ μὴ καὶ πρὸς τρυφὴν διαζῷημεν μηδὲ τὰ Συβαριτικὰ παρὰ μέσοις Βουλγάροις δειπνοίημεν, οἰόμενοι μηδὲ τὸ παράπαν βιῶν, μήτε συνιέντες ὡς οὐ τοσοῦτον Φρυγῶν τὸ μεταξὺ καὶ Μυσῶν ὁπόσον ἄρα Βουλγαρία καὶ Σύβαρις διεστήκατον, ἀλλ᾽ οὐδ᾽ εὐγνωμονεῖν εἰδότες κατὰ τὸν ἀχάριστον Ἰσραὴλ εἴπερ, ἐκεῖ που τοσούτοις ἐνσπαταλῶντες τοῖς ἐδωδίμοις καὶ οὕτω φλεγμαινούσας τραπέζας παρατιθέμενοι, εἶτα γογγύζουσαν γλῶσσαν κατὰ τῆς τρεφούσης ἐθήγομεν. Ἐμέλλομεν δὲ ἄρα μεμνῆσθαι γῆς ἐκείνης καὶ τῶν

гощавки, на които всичко е тъжно, печалио и помрачено от нерадостната обстановка. А също тъй бяхме недоволни и от виното, че не беше ароматно, нито пък искрящо и приятно на вид и на вкус. То беше противно, непрекипяло и мътно на вид, като че ли току-що бе излязло от лина, неприятно на мирис и тръпчиво на вкус.

Не само това, но като деца ние обсипахме с оплаквания и растенията; че нито една прясноотkъсната краставица, настръхнала с нежни бодли и внушаваща с тях много желания, не ни е попадала. Тя подканя тия, които я гледат, да я изядат и сякаш държи пред тях островърхи копия и пречи на докосващите я пръсти да се отстранят дори и ранени. Или пък, напротив, търсейки кой ще я вземе и възбуждайки желанието му със своите естествени бодли съобразно със законите на Ерос или пък — нещо, което аз смятам за най-насилническо, — като се насочи срещу другите плодове, повежда оттам цяла свита копиеносци, за да получи законно ⟨.....⟩. Не се мерна пред очите ни нито ябълка от какъвто и да било вид ⟨....⟩, получила допълнително името си от мястото, което я е родило, или пък изобщо ябълка без определено название, или пък смокиня, или нар, скоро откъснати и пресни. И то ябълка зачервена и блестяща със собствена руменина, която примамва и радва очите с природната си красота, простота и скромност, без да се труфи подобно на хетера. — — —

Защо прочее трябва да се връщаме към писаното тогава и онзи, който попадне на писмото, ясно да разбере какво сме набъбрали там за Сердика — какви глупости и празнословия — по-скоро като хора алчни и неблагодарни, неодобряващи доставеното ни в достатъчно количество. Но ако и да не живеехме разкошно и да не ядяхме сред българите сибаритски ястия, мислейки дори, че изобщо не живеем, и не разбирайки, че разликата между България и Сибарис[1] не е толкова голяма, колкото между Фригия[2] и Мизия[3], като не можехме да бъдем признателни, подобно на неблагодарния Израил, въпреки че там се наслаждавахме на толкова много ядене, седнали на такава изобилна трапеза, все пак точехме езика си, мърморейки срещу тази, която ни хранеше. И тъй ние трябваше да си спомним за оная земя и за тамошните блага и да я наречем „земя

[1] Сибарис — древна гръцка колония в Южна Италия. Жителите на Сибарис поради своето богатство живеели в голям разкош и затова името „сибарити" станало синоним за човек, който се храни с най-изтънчени храни. [2] Фригия — област в централната част на Мала Азия. Според легендата в древността в нея имало големи количества злато. [3] Мизия — област в Северозападна Мала Азия, която в древността била известна като бедна планинска страна с пастирско население.

ἐκεῖθεν καλῶν καὶ γῆν μακάρων οὔ τί τοι Βουλγάρων ταύτην μεταμαθεῖν. Τὸ γὰρ ἀπ᾿ ἐκείνου καὶ ἐς τόδε καιροῦ ἐν οὕτως ἀπόρῳ τόπου μονονουκὶ καὶ ⟨. . . . . μετα⟩ σκηνούμεθα — ἵνα καὶ τοῖς περὶ τούτου λόγοις ἐνευκαιρήσω, ἐκεχειρίας λαβόμενος —, ὡς μὴ ὅτι τῶν περι⟨ττῶν ἢ τῶν ὑπ⟩ὲρ τὴν χρείαν ἐφίεσθαι, ἀλλ᾿ εἰ καὶ τὰ πρὸς ἀνάγκην καὶ ὅσα ἂν πρὸς τὸ ζῆν μόνον ἀπέχρησε ποριζοίμεθα ἐν εὐχῆς μοίρᾳ τίθεσθαι.

Ὅτε γὰρ ἄρτος ἡμῖν ἐνίοτε πολυζήτητος καὶ ἀνεύρητος, ἢ εὑρημένος παντάπασιν ἄβρωτος, ὅλος ὢν ἀθέρες καὶ λέμματα καὶ ἅλωνος συρφετός· καὶ τὸ δὴ χεῖρον, ὅτι καὶ αὖός ἐστι καὶ ἀτεχνῶς εἰς λίθον ἀπέσκληκεν, ὥσπερ ἂν εἰ καὶ πάλιν αἰτησαμένου τοῦ πειράζοντος πνεύματος λίθους γενέσθαι τοὺς ἄρτους ἐναντίως ἢ ἐν εὐαγγελίοις ἠκούσαμεν· ὁ δὲ αὐτομάτως ἀπολελίθωται, πάντως ἵν᾿ ἡμεῖς καὶ εὐωχούμενοι πειραζώμεθα. Εἰς τοῦτο γὰρ ἀδρότητος ἐξηγρίωται, ὡς ἡμῖν καὶ τὴν ὑπερῴαν ἀμύσσειν καὶ τὴν γλῶσσαν λυπεῖν καὶ τῇ καθόδῳ τὸν φάρυγγα παραξέειν, ὡς λίθον τραχὺν ὠθούμενον εἰς βίαν κατὰ πρανοῦς, πολλάκις δὲ καὶ εἰς φραγμὸν ἑστάναι τῷ τοῦ πνεύματος ὀχετῷ καὶ εἰς πνίγμα τῷ προσφερομένῳ ἐστηρίχθαι κατὰ λαιμοῦ καὶ τιθέναι τοῦτον ὑπὸ στενοχωρίας ἀσχήμονα, τοὺς ὀφθαλμοὺς ἐκκεκροῦσθαι δοκοῦντα πρὸ τῶν βλεφάρων ἑστηκότας αὐτῷ τῆς οἰκείας ἕδρας ἀπολιμπάνοντας. Καὶ τὸ ὅλον πάσχομεν Κρονικά, λίθων καταπόσεσιν ἡμέρας ἑκάστης τὸν οἰσοφάγον δρυπτόμενοι πρὸς ἀνάγκην, πάντως οὐ πρὸς ἀπάτην ὁποῖα λόγος τὸν μισότεκνον Διὸς πατέρα Κρόνον παθεῖν, ἀλλ᾿ οὐδὲ πρὸς μῦθον καὶ ἀστοργίαν, πρὸς πόθον μὲν οὖν καὶ τοῦτον τυραννικόν. Λιμῷ γὰρ παλαίειν ἀμηχανοῦντες, καὶ ὃ μισοῦμεν ποθοῦμεν καὶ πρὸς ὃ δυσορεκτοῦμεν τούτου καὶ ὀριγνώμεθα καὶ τὸ ἀπόστοργον ἡμῖν οὕτω στέργομεν καὶ ἀμφέπομεν καὶ οὕτω κοιλαῖς χερσὶ δεχόμεθα καὶ ἀγκαλιζόμεθα, ὡς ἐν ἀφορήτῳ τιθέναι μὴ οὐχὶ καὶ τοῖς σπλάγχνοις τοῦτο ἐγκαταθέσθαι καὶ οἱ τὴν μέσην χώραν τῆς καρδίας χαρίσασθαι. Τοίγαρ αὐτὸ καὶ ἄσμενοι κατὰ τὰ φίλτατα πρώτως τῷ χείλει προσενεγκόντες κἶτα καὶ τοῖς ἔνδον εἰσοικιζόμεθα.

Οὕτως ἐκπολιορκούμεθα τῷ κακῷ, οὕτως ἡμῖν ὁ τοῦ στομάχου πύργος λιθοβολεῖται! Καὶ δέος μή, τοῦ τειχίου ῥαγέντος τῷ τοῦ παταγμοῦ θαμινῷ, βάρβαρός τις νόσος ἐπεισπηδήσοι τῷ πολιχνίῳ τοῦ σώματος καὶ τῆς ἀκροπόλεως κατακρατήσασα κεφα-

